ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΜΑΞΙΜΟΥ

ΜΟΝΑΧΟΥ, ΚΑΙ ΜΑΡΤΥΡΟΣ

ΕΞΗΓΗΣΙΣ ΚΕΦΑΛΑΙΩΔΗΣ ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΧΡΙΣΤΟΝ
τοῦ Θεοῦ ἡμῶν σωτήριον Πάσχα, τὸ διαγραφὲν κανόνιον ἑρμηνεύουσα.

S. MAXIMI

MONACHI ET MARTYRIS

BREVIS ENARRATIO CHRISTIANI PASCHATIS,
qua deſcripti laterculi ratio declaratur.

DIONYSIO PETAVIO INTERPRETE.

Illuſtri, ac laudum genere omni celebrando Patricio Petro, Maximus humilis Monachus.

I. CUM te cœleſti, ac divinæ ſapientiæ innutritum in omni eſſe vita meminerim, præclare, & à Deo conſervande Domine: ac divinitus communicata illa facultate præditum, quæ cœleſti prudentia, & virtute fœcunda, ad honeſta quæque cogitanda, faciendáque perducit. quorum fundamentum religioſa fides eſt, rectéque ſentiens: quæ ſolam eorum quæ aſpectabilia non ſunt, velut divina quodammodo gratia jam aſpectabilium, etiam antequam patefacta ſint, oſtenſionem per ſpem exhibet iis, qui, quod tu facis, adventum Verbi continua ad ipſum, nec interrupta progreſſione præſtolantur, ac ſuſtinent: ſtatui apud me, cùm aliis veſtris; tum hoc ſingulari demiſſionis ad me veſtræ facto, ac merito confiſus, laterculum quemdam auguſta religione plenum deſcribere; & ad vos laude ac prædicatione omni ſuperiores mittere. In quo primùm jejuniorum continetur ingreſſus. tum ſolenne Reſurrectionis Dominicæ. item aliud feſtum, quod olim celebre; nunc obſcurum apud nos, & ignobile; ut qui nihil ex eo ad celebrandum aſſumimus; neque curamus omninò; decimam intelligo ſeptimi menſis Judaïci: per quam ſemel quotannis, ex præſcripto legis, in Sancta Sanctorum introibat Pontifex. qua die præterea Zachariæ de Joanne magno præcurſore, ac præcone veritatis editum eſt oraculum. qua de cauſſa, ut hoc genus eruditionis harum rerum ſtudioſis aſpergerem, non dubitavi hoc etiam ſolenne laterculo complecti meo: imo feci hoc eò libentiùs, quòd ex eo cognovi faciliùs inveniri illa poſſe, quæ ad inquirendum Jejuniorum caput; ac Reſurrectionis feſtum; ipſámque adeo menſis ſeptimi decimam diem pertinere videntur. Ad hujus porrò laterculi deſcriptionem perbrevem ejus expoſitionem adjeci, quæ ſic habet.

Τῷ πανευφήμῳ Πατρικίῳ κυρίῳ Πέτρῳ Μάξιμος ταπεινὸς μονάζων.

ἘΠΕΙΔΗ' σε, πανεύφημε καὶ θεοφρούρητε δέσποτα, βίου τροφὴν, καὶ συμβίωσιν τῆς ἀνωτάτω πεποιημένον σοφίαν ἐπίσταμαι, * καθ' ἣν ἀεὶ φρονήσει θείᾳ, καὶ ἀρετῇ γόνιμον τήν τε περὶ τὸ νοεῖν τὰ καλὰ καὶ πράττειν θεόσδοτον ἕξιν, καὶ δύναμιν, ὧν βάσις ἡ εὐσεβὴς, καὶ ὀρθόδοξος πίστις καθέστηκε· μόνην ὑποφαίνουσα δι' ἐλπίδος τὴν τῶν ἀοράτων, ὡς ὁρατῶν ἤδη πως κατὰ τὴν χάριν γεγενημένων, καὶ πρὸ τῆς ἐκφάνσεως ἀποκάλυψιν, τοῖς κατὰ σὲ τὴν τοῦ λόγου παρουσίαν διὰ τῆς πρὸς αὐτὸν ἀνεπιστρόφου πορείας ἐκδεχομένοις ἀεὶ, καὶ προσμένουσι, συνεῖδον τοῖς τε ἄλλοις ὑμῶν, καὶ μὴν δὴ τῷ ὑπὲρ τὰ ὅλα μεγίστῳ τῆς συγκαταβάσεως κατορθώματι θαῤῥήσας τε ἅμα, καὶ προθυμηθεὶς, κανόνιόν τι διαγράψαι σεμνὸν, καὶ ἀποστεῖλαι τοῖς πανευφήμοις, καὶ ὑπερευφήμοις ὑμῖν τήν τε τῶν ἁγίων νηστειῶν εἴσοδον ἐμπεριειληφός· καὶ τὴν τῆς ἱερᾶς ἀναστάσεως ἑορτήν· καὶ πρὸς ταύταις τὴν τὸ παλαιὸν ἐπίσημον, νῦν δὲ καθ' ἡμᾶς ἄσημον οὖσαν· ὡς οὐδὲν οὐδαμῶς ἐν αὐτῇ τελοῦσιν ἡμῖν, ἢ τελουμένην τὸ σύνολον, δεκάτην τοῦ καθ' Ἑβραίους ἑβδόμου μηνός. καθ' ἣν ἅπαξ τοῦ ἐνιαυτοῦ κατὰ νόμον ἐποιεῖτο τὴν εἰς τὰ ἅγια τῶν ἁγίων εἴσοδον ὁ ἀρχιερεύς. εἰς ἣν καὶ τῷ Ζαχαρίᾳ γέγονεν ὁ χρηματισμὸς περὶ Ἰωάννου τοῦ μεγάλου τῆς ἀληθείας προδρόμου, καὶ κήρυκος. διὸ μάλιστα καὶ ταύτην ἐπισημήνασθαι, φιλομαθείας χάριν τῶν φιλολόγων, οὐκ ἀπώκνησα· μᾶλλον δὲ προεθυμήθην. ῥᾳδίαν ἐντεῦθεν εἰδὼς * ἐσομένην τὴν περὶ ἑκάστου τῶν ἔν τε τῇ * προβάσει, καὶ ἀναστασίμῳ, καὶ αὐτῇ τῇ δεκάτῃ τοῦ ἑβδόμου μηνὸς * ζητουμένων ὑμῖν τὴν κατάληψιν. πεποίηκα δὲ μετὰ τῆς τοῦ λεχθέντος κανονίου διαγραφῆς, καὶ σύντομον αὐτὴν τὴν ἐξήγησιν, ἔχουσαν οὕτως. α'.

* f. καὶ τὴν, niſi verbi quippiam deſit.
* f. ἐσομένην.
* f. πα[illegible].
* f. ζητουμένην.



Α	Β	Γ	Δ	Ε	ς	Ζ	ς	Ε	Δ	Γ	Β	Α
Η'μέραι ἐμβόλ.	Σελήνης ἔτη	Ε'παχταί	Μῆνες Ρ'ωμαίων	Ποσταῖαι	Προθεταί	Προθεταί	Ποσταῖαι	Μῆνες Ρ'ωμαίων	Προθεταί	Ποσταῖαι	Μῆνες Ρ'ωμαίων	Σελήνης ἔτη
Ε'μβόλ.	ΙΘ	ΚΖ	Φεβρ.	Η	Δ		Ε	Α'πριλ.	ς	ΚΕ	Σεπτ.	Α
	Α	Θ	Ι'ανου.	ΚΗ	Α	Δ	ΚΕ	Μαρτ.	ς	ΙΔ	Σεπτ.	Β
	Β	Κ	Φεβρ.	Ις	Δ		ΙΓ	Α'πριλ.	Α	Γ	Ο'κτω.	Γ
Ε'μβόλ.	Γ	Α	Φεβρ.	Ε	Δ		Β	Α'πριλ.	ς	ΚΒ	Σεπτ.	Δ
	Δ	ΙΒ	Ι'ανου.	ΚΕ	Α	Δ	ΚΒ	Μαρτ.	ς	ΙΑ	Σεπτ.	Ε
	Ε	ΚΓ	Φεβρ.	ΙΓ	Δ		Ι	Α'πριλ.	ς	Λ	Σεπτ.	ς
Ε'μβόλ.	ς	Δ	Φεβρ.	Β	Δ	Δ	Λ	Μαρτ.	ς	ΙΘ	Σεπτ.	Ζ
	Ζ	ΙΕ	Φεβρ.	ΚΑ	Δ		ΙΗ	Α'πριλ.	Α	Η	Ο'κτω.	Η
Ε'μβόλ.	Η	Κς	Φεβρ.	Ι	Δ		Ζ	Α'πριλ.	ς	ΚΖ	Σεπτ.	Θ
	Θ	Ζ	Ι'ανου.	Λ	Α	Δ	ΚΖ	Μαρτ.	ς	Ις	Σεπτ.	Ι
	Ι	ΙΗ	Φεβρ.	ΙΗ	Δ		ΙΕ	Α'πριλ.	Α	Ε	Ο'κτω.	ΙΑ
Ε'μβόλ.	ΙΑ	ΚΘ	Φεβρ.	Ζ	Δ		Δ	Α'πριλ.	ς	ΚΔ	Σεπτ.	ΙΒ
	ΙΒ	Ι	Ι'ανου.	ΚΖ	Α	Δ	ΚΔ	Μαρτ.	ς	ΙΓ	Σεπτ.	ΙΓ
	ΙΓ	ΚΑ	Φεβρ.	ΙΕ	Δ		ΙΒ	Α'πριλ.	Α	Β	Ο'κτω.	ΙΔ
Ε'μβόλ.	ΙΔ	Β	Φεβρ.	Δ	Δ		Α	Α'πριλ.	ς	ΚΑ	Σεπτ.	ΙΕ
	ΙΕ	ΙΓ	Ι'ανου.	ΚΔ	Α	Δ	ΚΑ	Μαρτ.	ς	Ι	Σεπτ.	Ις
	Ις	ΚΔ	Φεβρ.	ΙΒ	Δ		Θ	Α'πριλ.	ς	ΚΘ	Σεπτ.	ΙΖ
Ε'μβόλ.	ΙΖ	Ε	Φεβρ.	Α	Δ	Δ	ΚΘ	Μαρτ.	ς	ΙΗ	Σεπτ.	ΙΗ
	ΙΗ	Ις	Φεβρ.	Κ	Δ		ΙΖ	Α'πριλ.	Α	Ζ	Ο'κτω.	ΙΘ

Cujuſmodi ſit laterculum, & quæ vis ſit illius.

II. PRopoſiti Canonis expoſitio ad hunc modum ſe habet. Eſt ille diviſus trifariam. Continet enim introitum ſacrorum jejuniorum; quartamdecimam primi menſis ſecundùm Hebræos; hoc eſt Niſan: in quam Paſcha illorum incidit: nec non decimam ſeptimi menſis; videlicet Tiſri: qua ſummus Sacerdos olim Sancta Sanctorum adibat. Porrò Introitus ſacrorum jejuniorum notatio ad ſiniſtram partem Canonis deſcripta eſt. Quartadecima verò primi menſis Judaïci ad dextram, prope inſcriptam in medio rotam. Poſt hanc ſtatim ad dextram magis accedit illa, quam diximus, decima dies ſeptimi menſis: adeo ut nihil à ſiniſtra præter jejuniorum introitum deſcriptum habeatur: à dextra verò parte utrumque ſit, quartadecima nimirùm primi menſis, & decima ſeptimi. Totius autem deſcriptionis illius vis eſt ejuſmodi.

Quid ſibi velit tabella ad ſiniſtram inſcripta.

III. IN ſiniſtro laterculo, ejúſque primo verſu in directum deſcendente ſeptem ſunt embolimi menſes. In ſecundo verſu, XIX lunares anni; initio à nonodecimo facto. unde ad primum, ſecundum, ac ceteros ordine progreſſus deſinit in octavumdecimum. Tertio verſu lunarium annorum Epactæ continentur. Quarto, Romani menſes duo, Januarius, & Februarius. Quintus menſium quotas exhibet, in quas Carniſprivii feſtum incidit. Sextus verſus addititios dies, ſive regulares continet ſerico ſcriptas. Hæc ad ſiniſtram habentur.

Quid ad dextram rotæ partem ſitæ tabula ſignificet.

IV. DExtræ tabulæ primus verſus novemdecim, ut dixi, annus lunæ complectitur, qui à primo per ſecundum, tertium, ac reliquos ordine procedunt, atque in decimumnonum deſinunt. Secundus verſus Romanos menſes habet Septembrem, & Octobrem. In tertio dies ſunt menſium, in quas Hebraïci menſis ſeptimi decima quotannis incurrit. In quarto regulares ſerico ſcripti. In quinto Romani menſes Martius, & Aprilis. In ſexto eorumdem menſium dies, quibus primi menſis Hebraïci quartadecima quotannis tribuitur. Septimus denique verſus addititios dies, ſive regulares rurſus oſtendit ſerico deſcriptos. Hæc ad dextram inſcripta tabula complectitur.

Quid in medio deſcripta rota contineat.

V. MEdia tabellarum rota Soli tribuitur. Hujus in interiore area ſeptem biſextiles ſunt, quinto quoque anno poſiti. Poſt biſextiles in primo verſu, ſive circulo, anni Solis XXVIII, primus, ſecundus, & ita deinceps uſque ad viceſimum octavum explicantur. Secundus verſus, ſive circulus octo & viginti annorum epactas præbet, prout anno cuique congruunt. Hæc de media rota.

Cur ab anno Lunæ XIX, non à primo tabella ſiniſtra ducat initium.

VI. CUr autem non à primo initium habeant anni lunares ad ſiniſtram inſcripti, ſed à nonodecimo; ac deinde primus, ſecundus, & reliqui ſubjiciantur, cauſſa eſt ejuſmodi. Caput jejuniorum in penultimo menſe, hoc eſt undecimo labentis anni perpetuò contingit: uti Paſchale feſtum in primo ſuccedentis. Quare cùm duos annos occupent ſacri jejuniorum dies; vel potiùs à duobus ipſi comprehendantur; ita ut initium illorum ab anno currente lunæ pendeat; finis autem ab eo, qui proximè ſequitur: neceſſe eſt ut jejuniorum initium ex anno decimonono metiamur, quando ſalutare Paſcha anno lunæ primo celebratur. Sic ex anno primo jejuniorum caput dirigitur, quoties feſtum Reſurrectionis in ſecundum incidit. & ex ſecundo, cùm in tertium cadit. & ab hoc rurſus, quando in quartum incurrit. atque ita porrò. Ad hunc modum ſe habet lunarium ad ſiniſtram annorum deſcriptio.

Τί τὸ κανόνιον, καὶ τί περιέχει ἡ τούτου δύναμις.

Ἡ Τοῦδε τοῦ προκειμένου ὑφήγησις τοῦ κανονίου, τοῦτον ἔχει τὸν τρόπον. τριπλοῦν τοῦτο καθέστηκεν, ὡς περιέχον ἐν ἑαυτῷ τήν τε τῶν ἁγίων παρείσβασιν νηστειῶν, καὶ τὴν τεσσαρεσκαιδεκάτην τοῦ κατ' Ἑβραίους πρώτου μηνὸς, λέγω δὴ τοῦ Νισάν. εἰς ἣν τὸ κατ' αὐτοὺς Πάσχα τελεῖται. καὶ τὴν δεκάτην τοῦ ἑβδόμου μηνὸς, ἤγουν τοῦ Θισρί. καθ' ἣν ὁ ἀρχιερεὺς τὸ παλαιὸν τὴν εἰς τὰ ἅγια τῶν ἁγίων εἴσοδον ἐποιεῖτο. καὶ ἔστι τῆς μὲν παρεισβάσεως τῶν ἁγίων νηστειῶν ἡ σημείωσις, ἐξ εὐωνύμων τοῦ αὐτοῦ κανονίου διαγεγραμμένη. ἡ δὲ τεσσαρεσκαιδεκάτη τοῦ κατ' Ἑβραίους πρώτου μηνὸς, ἐκ δεξιῶν σύνεγγυς τοῦ κατὰ μέσον ἐγγεγραμμένου τροχοῦ. μετὰ δὲ ταύτην εὐθὺς δεξιώτερον ἡ λεχθεῖσα δεκάτη τοῦ ἑβδόμου μηνός. ὡς εἶναι μόνην ἐξ ἀριστερῶν τὴν τῆς παρεισβάσεως διαγραφήν. ἐκ δεξιῶν δὲ ἀμφοτέρων, τῆς τεσσαρεσκαιδεκάτης φημὶ τοῦ πρώτου μηνὸς, καὶ τῆς δεκάτης τοῦ ἑβδόμου μηνός. τῶν δὲ διαγεγραμμένων ἐν ὅλοις ἡ δύναμις αὕτη καθέστηκεν. β'.

Τίς ἡ ἐξ εὐωνύμων διαγραφή.

Ἐ'Ν μὲν τῷ εὐωνύμῳ κανονίῳ, ἐν πρώτῳ στίχῳ αὐτοῦ, ὀρθῶς καθιέμενοι οἱ ἑπτὰ ἐμβόλιμοι μῆνές εἰσιν. ἐν δὲ τῷ β' στίχῳ τὰ ιθ' τῆς σελήνης ἔτη, ἀπὸ ιθ' τὴν ἀρχὴν ἔχοντα· καὶ οὕτως διὰ πρώτου, καὶ δευτέρου, καὶ τῶν καθ' ἑξῆς, εἰς τὸ ὀκτωκαιδέκατον λήγοντα. ἐν τρίτῳ στίχῳ, αἱ τῶν τῆς σελήνης ἐτῶν ἐπακταί· ἐν τετάρτῳ στίχῳ, οἱ Ῥωμαϊκοὶ μῆνες, Ἰανουάριος, καὶ Φεβρουάριος. ἐν πέμπτῳ στίχῳ, αἱ ποσταῖαι αὐτῶν τῶν μηνῶν. εἰς ἃς συμβαίνει γίνεσθαι τὴν ἀποκρεώσιμον ἑορτήν. ἐν ἕκτῳ στίχῳ, αἱ προσθεταὶ ἡμέραι, διὰ σηρικοῦ γεγραμμέναι. καὶ ταῦτα μὲν ἐξ εὐωνύμων. γ'.

Τίς ἡ ἐκ δεξιῶν διαγραφή.

Ἐ'Κ δεξιῶν δὲ ἐν πρώτῳ στίχῳ, τὰ εἰρημένα ιθ' τῆς σελήνης ἔτη, ἀπὸ πρώτου καθ' εἱρμὸν ἀρχόμενα, καὶ διὰ τοῦ δευτέρου, καὶ τρίτου, καὶ τῶν καθ' ἑξῆς, εἰς τὸν ιθ' λήγοντα. ἐν δευτέρῳ στίχῳ, οἱ Ῥωμαϊκοὶ μῆνες, Σεπτέμβριος, καὶ Ὀκτώβριος. ἐν τρίτῳ στίχῳ, αἱ τούτων τῶν μηνῶν ποσταῖαι, εἰς ἃς πίπτει τοῦ ἑβδόμου κατ' Ἑβραίους μηνὸς ἡ δεκάτη κατ' ἔτος ἕκαστον. ἐν τετάρτῳ στίχῳ, αἱ προσθεταὶ ἡμέραι, διὰ σηρικοῦ γεγραμμέναι. ἐν πέμπτῳ στίχῳ, οἱ Ῥωμαϊκοὶ μῆνες, Μάρτιος, καὶ Ἀπρίλιος. ἐν ἕκτῳ στίχῳ, αἱ τούτων ποσταῖαι, καθ' ἃς γίνεται τοῦ πρώτου κατ' Ἑβραίους μηνὸς ἡ τεσσαρεσκαιδεκάτη κατ' ἔτος ἕκαστον. ἐν ἑβδόμῳ στίχῳ, αἱ προσθεταὶ πάλιν ἡμέραι διαγεγραμμέναι ἀπὸ σηρικοῦ. ταῦτα καὶ ἐν τοῖς δεξιοῖς. δ'.

Τίς ἡ τοῦ μέσου τροχοῦ διαγραφή.

Ὁ Δὲ τούτων μέσος τροχὸς τοῦ ἡλίου καθέστηκεν, ἔνδον μὲν ἑαυτοῦ τὰ ἑπτὰ βίσεξτα κατὰ διαστολὴν ἀπὸ τεσσάρων εἰς τέσσαρα ἔτη κεκτημένος. μετὰ δὲ τὰ βίσεξτα, εὐθὺς κατὰ τὸν πρῶτον στίχον, ἤγουν κύκλον, τὰ κη' τοῦ ἡλίου ἔτη, ἀπὸ πρώτου καθ' εἱρμὸν, καὶ δευτέρου, μέχρι τῶν κη' διαγεγραμμένα. κατὰ τὸν δεύτερον στίχον καὶ κύκλον, τὰς αὐτῶν τῶν κη' ἐτῶν ἐπακτὰς, ἐφ' ἑκάστου ἔτους τὰς προσφόρους ἀναλόγως ἐπιγεγραμμένας. ταῦτα καὶ περὶ τοῦ μέσου τροχοῦ. ε'.

Τίς * ἡ ἀπὸ ιθ' τῆς σελήνης ἔτους, ἀλλ' οὐκ ἀπὸ πρώτης ἐν τῷ εὐωνύμῳ διαγράμματι. *Deeſt αἰτία.

Ἡ Δὲ αἰτία, καθ' ἣν οὐκ ἀπὸ πρώτου ἔτους ἡ ἐγγραφὴ τῶν τῆς σελήνης ἐτῶν ἐξ εὐωνύμων ἐτάγη, ἀλλὰ ἀπὸ ιθ', καὶ οὕτως πρώτου, καὶ δευτέρου, καὶ τῶν καθ' ἑξῆς, αὕτη ἐστίν. ἡ παρείσβασις ἐν τῷ προτελευταίῳ μηνὶ, τουτέστιν ἐνδεκάτῳ τοῦ ἐνεστῶτος γίνεται ἔτους ἀεί· καθάπερ καὶ ἡ Πασχάλιος ἑορτὴ ἐν τῷ πρώτῳ τοῦ εἰσιέναι μέλλοντος. ἐπειδὴ οὖν τὰ δύο μεσολαβοῦσιν ἔτη αἱ ἅγιαι τῶν νηστειῶν ἡμέραι, μᾶλλον δὲ πρὸς αὐτῶν αὗται συλλαμβάνονται. * καὶ τὰ μὲν τὴν οἰκείαν ἀρχὴν ἠρτημέναι τοῦ ἐνεστῶτος τῆς σελήνης ἔτους· κατὰ δὲ τὸ τέλος αὖθις τοῦ εἰσιέναι μέλλοντος· ἀνάγκη πάντως, ἀπὸ ἐννεακαιδεκάτου κανονίζεσθαι ἔτους τὴν ἀρχὴν τῶν νηστειῶν, ὅτε τὸ σωτήριον Πάσχα ἐν πρώτῳ τῆς σελήνης ἔτει ἐπιτελεῖται. οὕτω δὲ καὶ ἀπὸ πρώτου τὴν παρείσβασιν πάλιν, ὅτε ἡ ἀναστάσιμος ἑορτὴ ἐν β' γίνεται. καὶ ἀπὸ β', ὅτε ἐν τῷ τρίτῳ· καὶ ἀπὸ τούτου, ὅτε ἐν τετάρτῳ. καὶ ἁπλῶς μέχρι τέλους. οὗτος οὖν ὁ τῆς διαγραφῆς λόγος τῶν τῆς σελήνης ἐξ εὐωνύμων ἐτῶν. ς'. *Ἐμοὶ

Τίνες οἱ ἐμβόλιμοι, καὶ τίνες αἱ ἐπακταὶ τῆς σελήνης.

ζ'. Οἱ δὲ ἑπτὰ ἐμβόλιμοι μῆνες ἐκ τῶν λεγομένων ἐπακτῶν τῆς σελήνης ἀθροίζονται κατὰ διετίαν, ἢ τριετίαν ἀριθμὸν λ' ἡμερῶν ἐκπληροῦντες. αἱ δὲ ἐπακταὶ διὰ τὴν ἔκλειψιν δίδονται τοῦ τῆς σελήνης ἔτους πρὸς τὸ ἡλιακὸν ἔτος. ἐπειδὴ τὸ μὲν ἡλιακὸν, τξε' καθέστηκεν ἡμερῶν. τὸ δὲ τῆς σελήνης, τνδ'. ὅθεν καὶ τὸν οἰκεῖον μῆνα κθ' ἥμισυ ἡμερῶν κέκτηται. πᾶν δὲ σελήνης ἔτος δεχόμενον ἕνα τῶν ἐμβολίμων μηνῶν, δεκατριῶν γίνεται πάντως, πρὸς τὴν δυοκαίδεκα τοῦτον φερωνύμως ἐμβαλλόμενον ἔχον. ὡς εὑρίσκεσθαι λοιπὸν μὴ μόνον τνδ' ἡμερῶν κατὰ τὰ λοιπὰ τῆς σελήνης ἔτη, ἀλλὰ τπδ', τῇ προσθέσει τοῦ ἐμβολίμου μηνὸς λ' ἡμερῶν.

Περὶ τῶν ἐξ εὐωνύμων τοῦ κανονίου τετηρημένων Ἑβραϊκῶν μηνῶν, καὶ τῆς αὐτῶν ποσταίας. τίνες τέ εἰσι, καὶ διὰ τί διάφορος.

η'. Ἐ'Ντεῦθεν οὖν καὶ προτελευταῖον μῆνα τὸν πρὸ τοῦ τέλους, οὐ τὸν ἑνδέκατον, ἀλλὰ τὸν δυοκαιδέκατον τὸ τοιοῦτο τῆς σελήνης κέκτηται ἔτος· ἐξ οὗ προσηκόντως καὶ ἡ παρείσβασις τῶν ἁγίων νηστειῶν κανονίζεται, δι' αὐτὴν τοῦ μηνὸς τὴν περισσείαν, κωλύουσαν τὴν ἀπὸ ἑνδεκάτου γίνεσθαι μηνὸς παρατήρησιν. ὡς μή τε πλείους, ἢ ὧν ὑπάρχουσι κατὰ τὸν ἀριθμὸν, τὰς αὐτῶν ἡμέρας ψηφίζεσθαι, κἀκ τούτων διαμαρτεῖν τοὺς ψηφίζοντας. τετήρηται δὲ καθ' ἑκάτερον μῆνα, τὸν ἑνδέκατον λέγω, καὶ τὸν δυοκαιδέκατον, ἐν τῷ εὐωνύμῳ τοῦ κανονίου, οὐχ ἡ αὐτὴ ποσταία κατὰ τὴν τῶν Ῥωμαϊκῶν διαγραφήν· ὥσπερ ἐν ἑνὶ μηνὶ * καὶ ὅλοις τοῖς ἔτεσιν ἐν τῷ δεξιῷ τὴν, ιδ' σεσημειωμένην ὁρῶμεν ὑπάρχουσαν, ἀλλ' ἄλλη, καὶ ἄλλη. οἷον εἰς μὲν τὸν ια' παρ' Ἑβραίοις Σαβὰτ λεγόμενον, ἡ τούτου ἑπτακαιδεκάτη. ἐν ἐκείνοις μέν τοι τοῖς ἔτεσι τοῖς οὐκ ἔχουσι τὸν ἐμβόλιμον. εἰς δὲ τὸν δυοκαιδέκατον, Ἀδὰρ προσαγορευόμενον, ἡ τούτου ὀκτωκαιδεκάτη, ἐν τούτοις δηλονότι τοῖς τὸν ἐμβόλιμον ἔχουσι· καὶ τοῦτο γε κατὰ λόγον. ἐπειδὴ γὰρ κθ' καὶ λ' ἡμερῶν παρ' ἑκάτερον μῆνα τῶν δυοκαίδεκα τῆς σελήνης ψηφίζομεν, πρὸς τὸ μὴ τεμεῖν ἡμέρας διὰ τοῦ ἀνὰ κθ' ἥμισυ τούτους ψηφίζειν. συμβαίνει γὰρ οὕτω τάς τε τνδ' ἡμέρας ἐντελῶς ἀριθμεῖσθαι κατὰ πᾶν ἔτος τῆς σελήνης· καὶ μηδὲ μίας συμβαίνειν ἡμέρας διαίρεσιν. ὡς ἐντεῦθεν λοιπὸν εὑρίσκεσθαι, διὰ τὴν τοιαύτην ἐκ πρώτου μηνὸς ἀκολουθίαν καὶ τάξιν, τὸν μὲν ια', ἡμερῶν κθ'· τὸν δὲ δυοκαιδέκατον, λ' ἡμερῶν. προσηκόντως οὖν ἐν μὲν τοῖς οὐκ ἔχουσι τὸν ἐμβόλιμον, τὸν ια', καὶ τὴν τούτου ιζ' ἐκανονίσαμεν. ἀπὸ γὰρ ταύτης μέχρι τῆς τοῦ κατ' Ἑβραίους πρώτου μηνὸς ιδ' τοῦ εἰσιέναι μέλλοντος ἔτους, ἰσάριθμοι τῶν ἁγίων νηστειῶν αἱ ἡμέραι τυγχάνουσι, τουτέστιν νζ'. τοσαῦται γὰρ αἱ τῶν η' ἑβδομάδων προδήλως εἰσίν. οἷον αἱ ὑπόλοιποι ιγ' αὐτοῦ τοῦ ια' μηνός. εἴπερ κθ', καθὼς ἔφην, οὗτος ψηφίζεται. καὶ αἱ τοῦ δυοκαιδεκάτου λ', καὶ αἱ τοῦ πρώτου μηνὸς ιδ'· δῆλον δὲ ὡς ιγ', καὶ λ', καὶ ιδ', ἡμέρας νζ' ποιοῦσιν. ἐν δὲ τοῖς ἔχουσι τὸν ἐμβόλιμον ἔτεσι, τὸν δυοκαιδέκατον ἐτηρήσαμεν, καὶ τὴν αὐτοῦ ὀκτωκαιδεκάτην. ἐκ ταύτης γὰρ μέχρι τῆς τοῦ πρώτου μηνὸς ιδ' αἱ νζ' πάλιν ἀθροίζονται. οἷον αἱ αὐτοῦ τοῦ ιβ' ὑπόλοιποι ιγ', διὰ τὸ λ' ἡμερῶν τοῦτον ψηφίζεσθαι. καὶ τοῦ ἐμβολίμου, ἤγουν τρισκαιδεκάτου, λ'. τοσαύτας γὰρ πᾶς ἐμβόλιμος κέκτηται. καὶ αἱ τοῦ πρώτου μηνὸς ιδ'. ὅθεν ἐπὶ τοῦ τελευταίου, ἤγουν τοῦ ιθ' ἔτους, καὶ τὴν ις' τοῦ κατ' αὐτὸν ια' μηνὸς ἐπεσημηνάμεθα. διὰ τὸ δυοκαιδέκατον αὐτοῦ μῆνα, κθ' μόνον ψηφίζομεν ἡμερῶν, ὥσπερ οὖν κἀυτὸν τὸν ια'· τὴν δὲ αἰτίαν προϊόντες δηλώσομεν. εὐλόγως οὖν διὰ ταῦτα, καὶ τὴν μετάστασιν ἴσην ἐπιτηροῦμεν ἐπὶ τούτων τῶν δεδηλωμένων μηνῶν. ἤγουν τῶν αὐτῶν ποσταίων, τῆς παρεισβάσεως χάριν. ἐν τῷ εὐωνύμῳ τοῦ κανονίου, τῆς ἐπὶ τῆς ιδ' τοῦ πρώτου μηνὸς γινομένης ἡμῖν, ἐν τῷ δεξιῷ μέρει τοῦ αὐτοῦ κανονίου, τῆς ἀναστάσεως ἕνεκεν. ἀπὸ τῆς Κυριακῆς καὶ δευτέρας, καὶ τῶν καθ' ἑξῆς ἡμερῶν, εἰς τὴν ἐπιοῦσαν ἁγίαν κυριακὴν μεταβαίνοντες. ταῦτα καὶ περὶ τούτων εἰπόντες, ἐπανακτέον ἡμῖν τὸν λόγον εἰς τὴν τῶν τῆς σελήνης ἐτῶν ἀπακρίβωσιν. θ'. *f. ἀν ἴσως

Περὶ διαστολῆς τῶν τῆς σελήνης ἐτῶν, καὶ ὁμάδος τῶν ἡμερῶν.

ι'. Ε'Ἰσὶν οὖν τὰ ὅλα τῆς σελήνης ἔτη, καθὼς ἐρρέθη, ιθ'. ζ' μὲν τὰ τοὺς ἰσαρίθμους ἐμβολίμους ἔχοντα μῆνας, ἤγουν τὰ ἀπὸ τπδ' ἡμερῶν· ιβ' δὲ τὰ λεγόμενα κοινά. τουτέστι τὰ ἀπὸ τνδ'. αἱ δὲ πᾶσαι τῶν αὐτῶν ιθ' τῆς σελήνης

Quinam ſint embolimi, & quæ lunares epactæ.

SEptem menſes intercalares ex iis, quas epactas lunæ dicimus, colliguntur poſt duos annos, vel tres, quando ad tricenarium dierum numerum perveniunt. Epactæ porrò ex defectu lunaris anni ad Solarem oriuntur. Nam Solaris diebus conſtat CCCLXV. lunaris CCCLIV. Unde proprium menſem habet dierum XXIX, ac ſemiſſis. At annus lunæ quilibet uno aliquo de intercalaribus ſeptenis præditus, tredecim omninò menſes habet. adeo ut ad duodenos ultimus iſte pro eo, ac nominatur, intercalaris accedat. propterea non ſolùm dies colligat CCCLIV, uti ceteri lunares anni: ſed CCCLXXXIV, tricenûm dierum menſe inſuper addito. VII.

De Hebræis menſibus, qui ad ſiniſtram Canonis partem obſervati ſunt, & ipſorum quoto die, cujuſmodi ſint, & quare diverſi.

HInc igitur penultimus lunaris illius anni menſis non undecimus eſt, ſed duodecimus. à quo ſanctorum jejuniorum introitum jure metimur, ob exceſſum menſis unius, qui ab undecimo illorum obſervationem progredi vetat: ut ne plures numero, quàm revera ſint, dies illis imputentur: unde calculum ſubducentibus error obrepat. Ceterùm in utroque menſe, undecimo, inquam, & duodecimo, ad ſiniſtrum latus canonis non eadem quota dies adſcribitur è regione Romanorum menſium: quemadmodum in dextra parte uni menſi per annos omnes decimamquartam attributam cernimus: ſed alia, atque alia. Velut in undecimo menſe, quem Hebræi Sabat nominant, decimaſeptima dies adnotatur iis annis, qui embolimo carent. in duodecimo verò, qui ab illis vocatur Adar, octavadecima in annis embolimo præditis. Quod quidem rationi conſentaneum eſt. Cùm enim duodenos lunæ menſes alternis viginti novem, & triginta dierum putemus, ne dies partiri neceſſe ſit, ſi viginti novem, ac dimidium ſingulis imputemus. (Sic enim accidit, ut in quolibet anno lunari trecentos & quinquaginta quatuor dies integrè numeremus, ſine ulla diei fractione. quo fit ut, ex inſtituto menſium ordine, ac ſucceſſione, poſt primum deinceps undecimus dies habeat novem & viginti, duodecimus verò triginta.) cùm hæc, inquam, ſic habeant; meritò in annis ſimplicibus undecimum menſem, ejúſque XVII diem ad canonem adnotavimus. Nam ab hoc die uſque ad decimumquartum primi menſis Judaïci in anno conſequenti, totidem, quot ſanctis jejuniis attributi ſunt, intercedunt dies; nempe LVII. Tot enim ex hebdomadibus octo conſiunt. Sunt autem hi dies XIII ex undecimo menſe reſidui; qui, ut dictum eſt, novem & viginti colligit. tum duodecimi menſis XXX; ac primi denique, XIV. Colliguntur ex XIII, & XXX, & XIV, perſpicuè dies LVII. At in annis embolimæis duodecimum menſem, ejúſque diem octavumdecimum adhibuimus. Ab hoc enim uſque ad decimumquartum menſis primi, colliguntur iidem LVII dies. nimirum ex duodecimi menſis reſiduis XIII, quoniam ille triginta dies habet: & ex embolimi, ſive tertiidecimi, XXX. totidem enim embolimus quivis obtinet. ac demum ex menſis primi diebus XIV. Ob hanc cauſſam in anno poſtremo, qui eſt decimuſnonus, menſis undecimi XVI diem adſcripſimus. quoniam duodecimum illius menſem dierum, non ampliùs novem ac viginti conſtituimus, ut & undecimum. cujus rei in conſequentibus ratio reddetur. Quocirca jure in iis, quos dixi, menſibus, ac quotis eorum diebus, propter Introitum jejuniorum, eamdem alternationem in ſiniſtro latere canonis obſervamus, quam in dextro ad decimamquartam primi menſis adhibemus, propter feſtum Reſurrectionis; ubi à Dominica, & ſecunda feria, ceteríſque deinceps ad ſanctam Dominicam ſequentem tranſitum facimus. Sed de iis hactenus. nunc ad annorum lunarium rationem accuratiùs explicandam convertenda eſt oratio. VIII.

Explicantur anni Lunares, & ſumma dierum.

ANni lunares univerſè ſunt novemdecim, ut dictum eſt. Quorum ſeptem, intercalares menſes accipiunt, iidémque diebus conſtant CCCLXXXIV. duodecim verò communes appellantur; qui ſcilicet dies habent CCCLIV. Por- IX.

rò dies omnes ex XIX annis lunaribus collecti; adhibitis nimirum intercalaribus menſibus; dierum numerum exæquant, qui ex XIX annis Solaribus exiſtit, quorum ſinguli CCCLXV diebus conſtant. Nam propterea ſeptem embolimi menſes annis lunaribus accedunt, ut hi numero dierum cum Solaribus annis paria faciant: ac non 6726 ſolos dies habeant, ſed 6935. Totidem enim novemdecim annis Solaribus imputantur. adeo ut ne unus quidem in toto decemnovennali cyclo dies redundet.

Qua ratione ſuperfluus in embolimis menſibus dies, & quoto anno eximatur.

X. NAm tametſi ſeptem lunæ menſes adjiciantur, hoc eſt CCX dies; ob ſingulorum illius annorum ab Solaribus defectum; cùm undecim iſti dies nonniſi CCIX conficiant; decimus nonus annus uno die mutilatur; ac CCCLIII conſtat: ut ſuperfluum ex embolimis menſibus conſumat diem. Quippe annus iſte à IV die Aprilis incipiens in XXII Martii definit. Quo fit ut & menſes embolimi plenum dierum numerum retineant; & totius enneadecaëteridis Cyclus ne uno quidem die Solares annos novemdecim excedat.

Quòd etiam illi, qui lunares annos quinquies, & ſexies multiplicant, ſuperfluum diem eximant, etſi id alio in anno faciant.

XI. UNde illi quoque, qui annos lunæ quinquies, ſexiéſque multiplicant, cùm eamdem diem & ipſi computent; iidem tamen in anno, qui eorum calculo undecimus eſt; quem nos quartumdecimum putamus; ſuperfluum ex embolimis menſibus diem exemptilem habent. Etenim CCCLIII dumtaxat dierum undecimus ille ſtatuitur annus. Qui à triceſimo primo die Decembris iniens, ejuſdem menſis decimooctavo terminatur. Id autem ex eo conſtat, quòd annus illorum duodecimus quartamdecimam in Calendas Januarii habeat ex eorum calculo. unde conſequens eſt Neomeniam in XIX. Decembris incidere.

Qua de cauſſa lunares annos quinquies multiplicent; & quomodo in eodem calculo aberrent. tum cur annalis eorum computus à noſtro diſcrepet.

XII. EXemptilem porrò diem iſtum ad hunc modum inculcare ſtudent. Cùm enim tricenorum dierum lunarem conſtituant menſem; ac pro unoquoque die ſexageſimam unam particulam ſumant, & colligant; viſum eſt ipſis & pro illo die, qui undecimo quoque anno minuitur, quinque per annos ſingulos ſexageſimas conflare: ut duodecimo demum anno collecto uno die, in hujus primum illius anni poſtremum diem trajiciant; quem XIX Decembris eſſe jam diximus; qui idem unius anni finis eſt, & principium alterius, ex ementita illa computatione, ac methodo, non tamen ex rei veritate. Quî enim dies una facere duas, aut duorum inſtar habere poſſit? Hoc ſanè non ſolùm impoſſibile eſt, ſed etiam ſtolidum. Hinc igitur lunaris illorum calculus aberrat, quem ob imperfectam quinque ſexageſimarum acceſſionem accuratè conſequi nequeunt. Nam quòd tricenarios lunæ menſes inſtituunt, quatenùs pro quolibet die unam, uti dictum eſt, ſexageſimam colligunt; ideò nullam redundantiam affert, neque totidem dierum menſem illius efficit; quoniam dierum ſummâ per tricenarium numerum diviſâ, dimidiatus ille dies è ſexageſimis adveniens exhauritur; neque plures quàm XXIX; ſingulis menſibus relinquit. At verò quolibet anno ſexageſima ſcrupula quinque colligere ad eum ſupplendum diem, qui undecimo anno ſupprimitur, planè ad rationes conturbandas pertinet. Atque hoc ex eo convincitur, quòd poſt unicum illum diem, triginta quinque ſexageſimas, quæ ex annis ſeptem lunæ reſiduis conflantur, evoluta demùm enneadecaëteride tamquam ſuperfluas expungunt. Quicquid autem ex aliqua parte velut ſupervacaneum in ſubducendo ſtolidè rejicitur, id & cycli totius labem hac in methodo, & eorum, qui utuntur, errorem coarguit. Nam id unum intuentur, ut dictum eſt, ſolum ut illum diem detrahant, quàm idipſum verò exactè faciant, penſi nihil habent. Quinetiam annalis illorum computus ab eo diſcrepat, quem nos ex traditione Eccleſiaſtica retinemus. Quippe ad annos Adami ſedecim adjiciunt. Verùm hæc de illis quaſi obiter attigimus. nunc ad propoſitum redeamus; cauſſámque reddamus, cur embolimi menſes lunaribus annis inſerantur.

ἐτῶν ἡμέραι, τῇ συμπαραλήψει δηλαδὴ τῶν ἐμβολίμων μηνῶν ἰσάριθμοι τυγχάνουσιν * ἡμέραι αἱ τῶν ἡλιακῶν ιθ΄. τουτέστι, τῶν ἀπὸ τξε΄. διὰ τοῦτο γὰρ οἱ ἑπτὰ ἐμβόλιμοι μῆνες προστίθενται τοῖς τῆς σελήνης ἔτεσιν, ἵνα ταῦτα κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν ἀνελλιπῶς ἔχειν ποιήσωσι πρὸς τὰ τοῦ ἡλίου ἔτη· καὶ εἶναι μὴ μόνον ϛψκϛ΄ ἡμερῶν, ἀλλὰ ϛϡλε΄. τοσαῦται γὰρ αἱ τῶν ιθ΄ ἡλιακῶν ἐτῶν ἡμέραι τυγχάνουσιν, οὐδὲ μιᾶς περιττῆς οὔσης ἡμέρας ἐν τῷ κύκλῳ τῆς ὅλης ἐννεακαιδεκαετηρίδος.

Πῶς ἡ ἐν τοῖς ἐμβολίμοις μησὶν περιττεύουσα μία ἡμέρα ἀποτέμνεται, καὶ ἐν ποίῳ ἔτει.

Εἰ γὰρ καὶ ζ΄ μῆνας ἐμβάλλομεν, τουτέστι σι΄ ἡμέρας, αὐτῇ, τῆς τῶν καθ' ἕκαστον ἔτος αὐτῆς χάριν * συλλείψεως ἕνδεκα ἡμερῶν εἰς σθ΄ μόνας ἀθροιζομένων· ἀλλά γε τὸ τελευταῖον ἔτος, ἤγουν τὸ ιθ΄, παρὰ μίαν ἡμέραν διὰ τοῦτο γενήσεται, τνγ΄ ὑπάρχον, ἵνα ἀποτέμῃ τὴν ἐν τοῖς ἐμβολίμοις μησὶ περιττεύουσαν μίαν ἡμέραν. ἄρχεται μὲν γὰρ ἀπὸ τῆς δ΄ τοῦ Ἀπριλίου μηνός. εἰς δὲ τὴν κβ΄ τοῦ Μαρτίου περαιοῦται. ἐξ οὗ (τῆς τε) τῶν ἐμβολίμων ἡ ἀρτιότης τῷ ἰσαρίθμῳ τῶν ἡμερῶν διασώζεται· καὶ ὁ τῆς ὅλης ἐννεακαιδεκαετηρίδος κύκλος ἐν οὐδὲ μιᾷ ἡμέρᾳ πλεονάζων εὑρίσκεται πρὸς δεκαεννέα τοῦ ἡλίου ἔτη τὸ σύνολον. ι΄.

Ὅτι καὶ οἱ πενταπλοῦσι, καὶ ἑξαπλοῦσι τὰ τῆς σελήνης ἔτη ἡ περιττὴ ἀποτέμνεται, κἂν ἐν ἄλλῳ ἔτει.

Ὅθεν οἱ τὴν πεντάπλωσιν, καὶ ἑξάπλωσιν ποιούμενοι τῶν τῆς σελήνης ἐτῶν, καὶ οὕτως τὴν * αὐτῆς ἡμέραν ψηφίζοντες, ἐν ἑνδεκάτῳ κἀκεῖνοι ἔτει, τῶν * αὐτῶν ψηφιζομένων ἐτῶν· ὅπερ τεσσαρεσκαιδέκατόν ἐστιν ἡμῖν ἀριθμούμενον· τὴν ἐν τοῖς ἐμβολίμοις περιττεύουσαν μίαν ἡμέραν, λείπουσαν * κέκτηνται. τνγ΄ γὰρ ἡμερῶν ὑπάρχει τὸ αὐτὸ ια΄ ἔτος. ἀρχόμενον μὲν ἀπὸ τῆς τριακάδος πρώτης τοῦ Δεκεμβρίου μηνός, εἰς δὲ τὴν ιη΄ τοῦ αὐτοῦ καταλῆγον· καὶ δῆλον ἐκ τοῦ τὸ δυοκαιδέκατον εἰς τὴν πρώτην τοῦ Ἰανουαρίου τεσσαρεσκαιδεκάτην ἔχειν, κατὰ τὴν ἐκείνων ψῆφον. ὡς ὑπάρχειν αὐτοῦ τὴν νεομηνίαν κατὰ τὴν ιθ΄ τοῦ Δεκεμβρίου μηνός. ια΄.

Τίνος χάριν πενταπλοῦσι τὰ τῆς σελήνης ἔτη, καὶ πῶς περὶ τὴν αὐτῶν σφάλλονται ψῆφον. καὶ διὰ τί πρὸς τὸ παρ' ἡμῖν ψηφιζόμενον ἔτος, τὸ παρ' αὐτοῖς διαλλάττει.

Διεσπουδάσθη δὲ τούτοις τὴν τῆς λειπούσης παρένθεσιν ποιήσασθαι κατὰ τόνδε τὸν τρόπον· ἐπειδὴ γὰρ αὐτοῖς λ΄ ἡμερῶν ὁ τῆς σελήνης ψηφίζεται μήν, διὰ τοῦ μίαν ἑξηκοστὴν ὑπὲρ ἑκάστης ἡμέρας τιθέναι, καὶ συλλαμβάνειν, ἔδοξε καὶ ὑπὲρ ταύτης· λέγω δὴ τῆς κατὰ τὸ ἑνδεκαιδέκατον ἔτος λειπούσης ἡμέρας, ε΄ καθ' ἕκαστον ἔτος συνάγειν ἑξηκοστά· ὡς ἂν διὰ τοῦ δυοκαιδεκάτου ταύτην ἀθροίζοντες, ἐπὶ τὴν τούτου πρώτην, τὴν ἐκείνου τελευταίαν ἀγάγωσιν. ἥ τις ἐστὶν ἡ λεχθεῖσα τοῦ Δεκεμβρίου ιθ΄. καὶ ἔστι μὲν ἡ αὐτὴ τοῦ μέν, τέλος· τοῦ δέ, ἀρχὴ κατὰ τήνδε τὴν ἐπινοηθεῖσαν ψῆφον, καὶ μέθοδον, οὐ μὴν ἀληθείᾳ καὶ πράγματι. πῶς γὰρ ἡ μία τὰς δύο, ἢ ἀντὶ τῶν δύο ποιήσει ποτ' ἄν; τοῦτο γὰρ πρὸς τὸ ἀμήχανον καὶ ἠλίθιον πάντη καθέστηκεν. ἐντεῦθεν οὖν καὶ περὶ τὴν τῆς σελήνης σφάλλονται ψῆφον, ἀναιρουμένης τῆς ἀκριβοῦς καταλήψεως ἐκ τῆς τῶν ε΄ ἑξηκοστῶν ἀσυντελοῦς * ἐπικλήσεως. ἐπεὶ τὸ μὲν ἀπὸ λ΄ τοὺς ταύτης μῆνας ποιεῖν, * τὸ συνάγειν ὡς ἔφην μίαν ἑξηκοστὴν ὑπὲρ ἑκάστης ἡμέρας, οὐκ ἔχει πλεονασμόν, οὐδὲ τοσούτων ἡμερῶν τὸν αὐτῆς μῆνα παρίστησιν· ἡ γὰρ εἰς λ΄ πάλιν, ἀλλ' οὐχὶ εἰς κθ΄ ἥμισυ τῶν ἀθροιζομένων ἀνάλυσις, τὸ προστεθὲν διὰ τῶν ἑξηκοστῶν ἡμισημέριον ἀποτέμνουσα, πλείους ἔχειν οὐ παραχωρεῖ τῶν κθ΄ ἡμίσεος. τὸ δὲ τὰ ε΄ κατὰ πᾶν ἔτος συνάγειν ἑξηκοστά, τῆς κατὰ τὸ ἑνδέκατον ἀποτμηθείσης χάριν ἀναπληρώσεως, διαμαρτεῖν πάντως ποιεῖ τοὺς ψηφίζοντας· καὶ δῆλον ἐκ τοῦ καὶ μετὰ ταύτην τὴν μίαν ἡμέραν, ἐκ τῶν ἀπολοίπων ζ΄ τῆς σελήνης ἐτῶν, συναγόμενα λε΄ ἑξηκοστὰ κατὰ τὸ τέλος τῆς ἐννεακαιδεκαετηρίδος, ὡς περιττὰ διαρρίπτεσθαι. πᾶν δὲ κατά τι μέρος τῶν ψηφιζόντων ἀνοήτως ῥιπτόμενον, τήν τε τοῦ ὅλου κύκλου κατὰ τήνδε τὴν μέθοδον * ἀναστασίαν δηλοῖ, καὶ τῶν αὐτῇ κεχρημένων διελέγχει τὸ σφάλμα. λόγος γὰρ αὐτοῖς, ὡς εἶπον, ἐστὶ συναγαγεῖν μόνην τὴν μίαν ἐκείνην· οὐδεὶς δὲ περὶ ἀκριβείας τὸ σύνολον· διαλλάττει δὲ καὶ τὸ παρ' αὐτοῖς ψηφιζόμενον ἔτος πρὸς τὸ παρ' ἡμῖν κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν ἀριθμούμενον· ἐπειδὴ τοῖς ἀπὸ Ἀδὰμ ἔτεσι ιϛ΄ προστιθέασιν. ἀλλὰ ταῦτα κατ' ἐπιδρομὴν περὶ ἐκείνων εἰπόντες, εἰς τὸ προκείμενον ἐπανέλθωμεν, τὴν αἰτίαν τρανοῦντες τῆς τῶν ἐμβολίμων ἐν τοῖς ἔτεσι τῆς σελήνης προσθήκης μηνῶν. ιβ΄.

Τίς,

Τίς, καὶ διὰ τί τῶν ἐμβολίμων μηνῶν ἡ ἐν τοῖς ἔτεσι τῆς σελήνης προσθήκη. καὶ πόθεν ἀεὶ τὸ πρῶτον ἄρχεται, καὶ ποῦ τὸ τελευταῖον λήγει.

ιγ΄. Λέγομεν οὖν, ὡς διὰ τοῦτο αὐτοῖς ἐνεβλήθησαν, ἵνα ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ μηνὸς ταῦτα ψηφίζεσθαι κανονισθῶσι, μὴ ἄλλως, ἢ οὕτω, παθεῖν τοῦτο δυνάμενα, διὰ τὴν ἐφ' ἑκάστου τῶν ἕνδεκα ὑστέρησιν ἡμερῶν, ὧν τὸ ἡλιακὸν ἔτος οὐκ ἔχον τὴν ἔλλειψιν, ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ μηνὸς ἀρχόμενον ἀεὶ κανονίζεται· λέγω δὴ τοῦ ἐαρινοῦ, καὶ τὴν ἰσημερίαν ἔχοντος. ὅς ἐστι κατὰ μὲν Ῥωμαίους, Ἀπρίλιος. κατὰ δὲ Μακεδόνας, Ξανθικός. κατὰ δὲ Αἰγυπτίους, Φαρμουθί. κατὰ δὲ Ἑβραίους, Νισάν· καὶ κατὰ τὸν ζωδιακὸν [ἥλιον,] ὁ λεγόμενος παρὰ τοῖς ἔξω κριός. ἐπειδὴ γὰρ καθ' ἕκαστον ἔτος αὐτοῖς ἡ σελήνη τῇ τῶν εἰρημένων ια΄ ἡμερῶν ἐλλείψει τοσαύταις ὑποκαταβαίνουσα, τὴν ἀφ' ἧς ἤρξατο ἡμέραν, * οὐχ' ἕνα καὶ τὸν αὐτὸν κέκτηται * ἀρχὴν μῆνα, δῆλον ὄντα παρὰ τοὺς ἄλλους, ἀλλὰ πάντας ἐπίσης, ἐκ τοῦ διὰ πάντων καθ' εἱρμὸν ἀναποδίζειν· ὡς ἀσημείωτον ἐντεῦθεν ὑπάρχειν λοιπόν. τὴν * τῶν αὐτῆς νεομηνίας ἐτῶν, ἡ τεχνικὴ ψῆφος αὕτη καὶ μέθοδος γέγονεν ἐπ' αὐτῆς, κατὰ τὴν τῶν ἑπτὰ ἐμβολίμων προσθήκην· ὡς ἂν ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ μηνός, ὥσπερ ὁ ἥλιος, οὕτω δὴ καὶ αὕτη κανονίζηται, καὶ ψηφίζηται. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἵνα καὶ ὡς εἷς ἐνιαυτὸς ἡλίου, πάντοθεν * ἑαυτὸν τυγχάνων ἴσος καὶ ὅμοιος ὁ πᾶς τῆς ἐννεακαιδεκαετηρίδος κύκλος δειχθῇ· ὡς ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ σημεῖον ἀρχόμενός τε, καὶ περατούμενος· οἷον κατὰ μὲν τὸ πρῶτον ἔτος αὐτοῦ, λαμβάνων ἀεὶ τὴν ἀρχὴν ἐν τῇ τοῦ Μαρτίου μηνὸς εἰκάδι τρίτῃ· κατὰ δὲ τὸ τελευταῖον, ἤγουν τὸ ἐννεακαιδέκατον, τὸ τέλος δεχόμενος κατὰ τὴν τοῦ αὐτοῦ μηνὸς εἰκάδα δευτέραν. ταῦτα οὖν καὶ περὶ ἐπακτῶν σελήνης, καὶ τῶν ἐμβολίμων.

Περὶ τοῦ Πασχαλίου μηνός.

ιδ΄. Δεῖ δὲ κατὰ τὸ ἀκόλουθον ἐπισημήνασθαι καὶ αὐτὸν τὸν μῆνα τὸν ἔσω ἑαυτοῦ τὰς τῶν ὅλων τῆς σελήνης ἐτῶν νεομηνίας κεκτημένον. ὃν διὰ τοῦτο καί τινες Πασχάλιον ὀνομάζουσι. πόθεν ὅπως τὴν ἀρχὴν ἔχει, καὶ ποῦ τὸ τέλος. φαμὲν οὖν, ὡς τὴν μὲν ἀρχὴν ἔχει κατὰ τὴν τοῦ Μαρτίου μηνὸς η΄. τὸ δὲ τέλος, κατὰ τὴν τοῦ Ἀπριλίου ε΄. ἐξ ἐκείνης γὰρ μέχρι ταύτης, μὴν ὑπάρχει σελήνης ὁλόκληρος, τουτέστιν κθ΄ ἡμέραι. διὰ τοσούτων γὰρ ἄνισι καὶ κάτισι τὰ ταύτης ἔτη κατὰ τὴν αὐτῶν νεομηνίαν. ἔκ τε τῆς τῶν ια΄ ἡμερῶν ἐκλείψεως, καὶ τῆς τῶν λ΄ πάλιν ἐμβολῆς καὶ προσθήκης. οὕτω δὲ καὶ αἱ ἐκ τῶν νεομηνιῶν αὖθις προαγόμεναι τεσσαρεσκαιδεκαταῖαι, καθ' ἃς Ἑβραίοις τὸ Πάσχα τελεῖται, κατὰ τὸν ἴσον ἐπαιρόμεναι καὶ καθιέμεναι τρόπον, τὴν μὲν ἀρχὴν ἔχουσι κατὰ τὴν εἰκάδα πρώτην τοῦ Μαρτίου, τὸ δὲ τέλος κατὰ τὴν Ἀπριλίου ιη΄. ἀπ' ἐκείνης γὰρ ἕως ταύτης, κθ΄ πάλιν ἡμέραι τυγχάνουσιν. ἔστι δὲ τὸ τὴν κατωτέραν πασῶν τῶν νεομηνιῶν νεομηνίαν * τεσσαρεσκαιδεκάτην ποιούμενον ἔτος σελήνης, τὸ ἓξ καὶ δέκατον. τὸ δὲ τὴν ἀνωτέραν τὸ η΄.

Περὶ τῆς κατὰ τὸ νομικὸν Πάσχα ὑπερβάσεως, καὶ τῆς κατὰ Χριστὸν τελετῆς. ἐκ ποίας αὕτη, καὶ μέχρι ποίας ἡμέρας κανονίζεται.

ιε΄. Διόπερ ἡμεῖς οἱ κατὰ χάριν ἐν ἀζύμοις εἰλικρινείας τὸ κατὰ Χριστὸν τὸν Θεὸν ἡμῶν ἠξιωμένοι Πάσχα τελεῖν, ὡς μίαν μόνην ὑπερβαίνοντες ἡμέραν, ὅτε σαββάτῳ φθάνουσαν ἴδοιμεν τὴν εἰκάδα πρώτην τοῦ Μαρτίου μηνός, καθ' ἣν συναντᾷ καὶ ἡ ιδ΄ τοῦ φέγγους· καὶ ὡς πάλιν ζ΄ ἡμέρας ἡνίκα κυριακῆς γινομένην εὕρωμεν τὴν τοῦ Ἀπριλίου μηνὸς ιη΄· εἰς ἣν ὁμοίως καὶ ἡ καθ' Ἑβραίους ιδ΄ τελεῖται πρώτου μηνός· ἐν λ΄ καὶ ε΄ ταῖς πάσαις ἡμέραις· τοσαῦται γὰρ αἱ ἀπὸ εἰκάδος δευτέρας Μαρτίου, μέχρι εἰκάδος πέμπτης Ἀπριλίου τυγχάνουσι· κανονιζόμεθα τὸ σωτήριον Πάσχα τελεῖν. οὔτε ἐκείνην ὑποκαταβαίνοντες, οὔτε μὴν ταύτην ὑπεραναβαίνοντες· διὰ τὴν ἐν ταύταις, καὶ εἴσω τούτων δεδομένην ἡμῖν ἐκκλησιαστικὴν νομοθεσίαν τε, καὶ παράδοσιν· ἡμῖν μὲν οὖν αἵ τε νεομηνίαι, καὶ τεσσαρεσκαιδεκαταῖαι τῶν τῆς σελήνης ἐτῶν, ἐντεῦθεν καὶ οὕτως ψηφίζονται.

* Ἐκ ποίου Ῥωμαϊκοῦ μηνὸς τὸ Πασχάλιον κανονίζουσι, καὶ πάντα τὰ τῆς σελήνης ἔτη, οἱ πενταπλοῦντες ταῦτα, καὶ ἑξαπλοῦντες· καὶ πόθεν, καὶ πῶς, καὶ ἐν ποίοις ἔτεσι πεντεκαιδεκάτην, καὶ ἓξ καὶ δεκάτην ιδ΄ ψηφίζουσι τοῦ καθ' Ἑβραίους πρώτου μηνός.

ιϛ΄. Τοῖς δὲ πενταπλοῦσι ταῦτα καὶ ἑξαπλοῦσιν ἐξ ἄλλου Ῥωμαϊκοῦ μηνός, λέγω δὴ τοῦ Δεκεμβρίου· ἀπὸ γὰρ τῆς

Quænam ſit, & qua de cauſſa fiat in annis lunæ menſium embolimorum adjectio. Item unde perpetuò primus annus ineat, & ubi poſtremus deſinat.

SIc igitur ſtatuimus, ob eam cauſſam inſeri menſes illos, ut ab uno eodémque menſe perpetuò calculus procedat. quod aliter in annis iſtis obtineri non poteſt, quoniam ſinguli diebus undecim deficiunt. quo defectu cùm Solaris annus vacet, ex eodem ſemper initio, nimirùm verno, & æquinoctiali menſe, proficiſcitur. quem quidem Romani Aprilem vocant; Macedones Xanthicum; Ægyptii Pharmuthi; Hebræi Niſan. cui Arietis ſignum in Zodiaco reſpondet. Etenim quoniam luna quotannis undecim diebus, ut diximus, à Solis anno deficiens, totidem eum, unde progreſſa eſt, antevertit diem; ideo non certum habet, ac fixum in uno aliquo, & inter ceteros manifeſto menſe principium; ſed ab omnibus æqualiter incipit; quòd omnes retrogrediendo ſingillatim peragret. adeò ut obſcurum ſit, nec ulla certa nota definitum initium, à quo Neomeniæ illius oriantur. Hinc artificioſus iſte computus, ac methodus adhibetur ejuſmodi, in qua ſeptem adduntur embolimi menſes. uti quemadmodum Sol, ſic illa ab uno eodémque menſe certam proficiſcendi regulam, ac dinumerationem habeat. Accedit & alia cauſſa; nimirùm ut decemnovennalis circulus totus, unius anni Solaris inſtar, undique par ſibi, ac ſimilis exiſtat; utpote ab eodem puncto progrediens, & in idem perpetuò deſinens. Ut, exempli cauſſâ, primo anno ſemper à die Martii XXIII incipit: ultimo item anno, qui eſt nonus decimus, in ejuſdem Martii XXII die finitur. Ac de Epactis lunæ, & embolimis hactenùs. XIII.

De menſe Paſchali.

DEinceps verò & ille notandus eſt menſis, qui omnium annorum lunæ Neomenias in ſeſe continet: quem propterea quidam Paſchalem nominant: unde & initium ducat; & ubi deſinat. Dicimus itaque hujus initium eſſe Martii VIII; finem Aprilis V. Nam ab illa die ad hanc, ſolidus lunæ menſis intercedit dierum XXIX. Per totidem enim ultrò citróque commeant illius annorum Neomeniæ, propter undecim dies, quibus iidem deficiunt anni, & tricenos, qui per intercalationem adduntur. Sic & quartæ decimæ, quæ à Neomeniis deinde procedunt, in quas Paſcha Judæorum incidit, eodem modo ſurſum, deorſúmque promotæ à XXI die Martii capientes exordium, Aprilis octavadecima terminantur. Etenim ad hanc ab illa novem & viginti numerantur dies. Annus lunæ, qui remotiſſimam omnium Neomeniam; & quartamdecimam habet, eſt decimus-ſextus. qui citimam, octavus. XIV.

De tranſcenſione legalis Paſchatis, ac de ſolenni Chriſtiano, à qua die in quam produci ſecundùm canonem liceat.

QUocirca nos, quibus ſecundùm gratiam in *azymis ſinceritatis* Chriſti Dei noſtri Paſcha celebrare conceditur, unam tantummodò diem tranſcendimus, quoties in Sabbatum incidentem cernimus Martii XXI diem, in quam lunæ decimaquarta competit. Septenos verò dies tranſmittimus, quoties XVIII Aprilis die Dominica incidit, & in eamdem quartadecima primi Judæorum menſis incurrit. Ita quinque & triginta totos dies: (Totidem enim à XXII Martii ad XXV Aprilis interjecti ſunt) ſalutari Paſchati celebrando præſtituimus. adeo ut neque citra illam, nec ultra iſtam obeamus, ob Eccleſiaſticum canonem, & traditionem, quæ intra hos dies Paſcha retinet. Ad eum itaque modum tam Neomenias, quàm terminos Paſchales in annis lunæ computamus. XV.

Quonam ex Romano menſe methodi Paſchalis ordinationem, ac lunarium annorum putationem repetant, qui hos quinquies, ſexiéſque multiplicant. Et unde, ac quomodo, & quibus in annis decimamquintam, ac ſextamdecimam numerent eam diem, quæ in Judaïco menſe revera eſt decimaquarta.

QUi annos lunæ per quinque, ac ſex multiplicant, ab altero menſe methodum ducunt, videlicet à Decembri. XVI.

bri. Nam à quarto hujus auſpicantes, menſem illum, qui Neomenias in ſe omnes complectitur, Calendis Januariis terminant. Sunt enim ab illo ad hunc novem & viginti dies. Quocircà prima Januarii dies regula eſt annorum omnium lunæ. Ab eâdem verò quot ad ultimam Martii dies numerantur, qui ſunt nonaginta; totidem ob Paſchalem computum ſexageſima ſcrupula colligunt. tum diviſione factâ, & tricenis diebus in menſes ſingulos imputatis, reliquus eſt dimidiatus dies, quæ ſunt ſcrupula triginta. Ad hæc igitur ſcrupula partes illas inſuper adjiciunt, quæ ex quinque ſexageſimis, de quibus ſuprà meminimus, exiſtunt. Ita dies integra conficitur, eóque ampliùs interdum, ſi, quod eſt conſentaneum, ad dies aliquot de Aprilis menſe calculus provehatur; ut tum accidit, cùm Paſcha diffunditur. Tunc enim illa quoque ſexageſima neceſſe eſt aſſumere. Ita fit, ut uno, alterove ſuperfuſo die, quartamdecimam Judaïci menſis computent XV, vel XVI. Decimamquintam porrò his in annis numerant, quinto, ſexto, ſeptimo, octavo, nono, decimo, undecimo, decimotertio, decimoquarto, decimoquinto, decimoſexto, ac decimonono. Sextamdecimam autem in anno decimoſexto. In quartadecima putanda nobiſcum in annis tantùm quinque conſentiunt; videlicet in primo ipſorum, qui nobis eſt quartus, ſecundo, tertio, quarto, decimooctavo. His animadverſis, quoties in Dominicam quartadecima primi Judaïci menſis incidit; neceſſe eſt perperam apud illos Chriſtianum Paſcha ad ſecundam & vigeſimam, aut viceſimamtertiam diem lunaris menſis extendi. cujus cauſſam antè reddidimus. Hactenus de Paſchali menſe, déque errore, quem in quartædecimæ putatione committunt, qui ita computant.

τούτου τετάρτης ποιούμενοι τὴν ἀρχὴν, τοῦ τὰς ὅλας νεομηνίας εἴσω ἑαυτοῦ κεκτημένου μηνὸς, τὸ τέλος εἰς τὴν τοῦ Ἰανουαρίου τίθενται πρώτην. κθʹ γὰρ ἀπ' ἐκείνης, μέχρι ταύτης εἰσί. διόπερ ἐκ ταύτης δὴ, φημὶ τῆς τοῦ Ἰανουαρίου πρώτης, πᾶν σελήνης κανονίζοντες ἔτος, εἶτα διὰ τὴν τοῦ Πάσχα ψῆφον, τὰ ἀπὸ ταύτης μέχρι συμπληρώσεως τοῦ Μαρτίου, τῶν ϙʹ ἡμερῶν, ἰσάριθμα συνάγοντες ἑξηκοστὰ, μετὰ τὴν εἰς λʹ λύσιν τούτων δὴ τῶν τριῶν μηνῶν, ἡμισημέριον αὐτοῖς καταλιμπάνεται, τουτέστι, λʹ ἑξηκοστά. τούτοις οὖν τοῖς λʹ ἑξηκοστοῖς συνεμβάλλοντες καὶ τὰ κατ' ἔτος ἕκαστον ἐκ τῶν εʹ ἑξηκοστῶν συναγόμενα μόρια, καὶ ποιοῦντες ἡμέραν μίαν. τυχὸν δὲ καὶ πρὸς, ἄν περ ὡς εἰκὸς, καὶ μέχρι τινῶν ἡμερῶν, τοῦ Ἀπριλίου τὴν ψῆφον ἐκτείνωσι, διὰ τὴν τοῦ Πάσχα παρέκβασιν. ἀνάγκη γὰρ καὶ τούτων συλλαμβάνειν τὰ ἑξηκοστά. συμβαίνει πάντως αὐτοὺς, τῇ τῆς μιᾶς ἡμέρας, ἢ καὶ δύο προσθήκῃ, * τὴν τοῦ πρώτου καθ' Ἑβραίους μηνὸς ιδʹ, καὶ ιεʹ, ἢ καὶ ιϛʹ. καὶ ιεʹ μὲν, ἐν τούτοις τοῖς ἔτεσιν, οἷον τῷ πέμπτῳ, καὶ ἕκτῳ, καὶ ζʹ, καὶ ηʹ, καὶ θʹ, καὶ ιʹ, καὶ ιαʹ, καὶ ιβʹ, καὶ ιγʹ, καὶ ιδʹ, καὶ ιεʹ, * καὶ ιϛʹ, καὶ ιθʹ. ἑξκαιδεκάτην δὲ ἐν τῷ ἰσαρίθμῳ ἔτει, οἷον τῷ ἑξκαιδεκάτῳ. συμφωνοῦσι δὲ μόνον τεσσαρεσκαιδεκάτην καὶ αὐτοὶ, τὴν δʹ, καὶ ιʹ ψηφίζοντες ἐν μόνοις τούτοις τοῖς εʹ ἔτεσι, τῷ τε πρώτῳ παρ' αὐτοῖς δηλαδὴ ψηφιζομένῳ, τετάρτῳ δὲ παρ' ἡμῖν τυγχάνοντι, καὶ τῷ δευτέρῳ, καὶ τῷ γʹ, καὶ τῷ δʹ, καὶ ηιʹ. τούτων οὖν οὕτως ἐχόντων, ἡνίκα * ἡ κυριακῆς ἡ δʹ, καὶ ιʹ τοῦ πρώτου κατ' Ἑβραίους συναντήσοι μηνὸς, πρὸς ἀνάγκης λοιπὸν εἰκάδι δευτέρᾳ τοῦ φέγγους, καὶ εἰκάδι τρίτῃ γίνεσθαι τὸ κατὰ Χριστὸν Πάσχα· τούτοις παραλόγως ψηφίζεται, διὰ τὴν εἰρημένην αἰτίαν. ταῦτα καὶ περὶ τοῦ Πασχαλίου μηνὸς, καὶ τῆς περὶ τὴν τεσσαρεσκαιδεκαταίαν πλάνης τῶν οὕτω ψηφιζόντων εἰρήσθω τὰ νῦν.

* Deeſt verbum. * [illegible] * f. ἡ κυρ.

De annis Adami, quotnam putentur, & quomodo per eos Solis, Lunæ, ac biſexti præſens annus inveniri queat.

XVII. PRæterea neceſſe eſt ſcire numerum annorum, qui ab Adamo repetuntur. Igitur ex Eccleſiaſtico calculo, ac traditione ad præſentem decimamquartam Indictionem anni XXXI imperii Heraclii piiſſimi noſtri Imperatoris, anni ſunt VI MCXXXIII. Quibus diviſis ac reſolutis, præſens annus Solis, Lunæ, ac biſexti reperitur. Etenim Solis annus obtinebitur, ſi ſummam per XXVIII partiare. Totidem enim ſunt, nimirum XXVIII cycli Solaris anni. Annus habebitur Lunæ, ſi per XIX diviſeris. Nam totidem, uti dictum eſt, illius anni ſunt. Sic annus biſexti diviſa ſumma per quatuor exiſtet. Ad hunc modum annorum Adami partitio unumquodque illorum indicat; quod tantum eſt, quantus eſt reſiduorum annorum numerus. Ut ſi ex illa diviſione per XXVIII, vel XIX, vel IV, ſuperſit unum, primus eſſe dicetur Solis annus, aut Lunæ, vel biſexti tali Indictione. Sin duo reſtent, ſecundus erit annus. Ita tertius, ſi tria. ac deinceps uſque ad annos XXVIII, aut XIX, aut IV. Sic congruus, & iniens in ſingulis annus inveſtigabitur.

Περὶ τῶν Ἀδὰμ ἐτῶν, πόσα τε τυγχάνει, καὶ πῶς δι' αὐτῶν τό τε ἡλίου, καὶ σελήνης, καὶ τοῦ βισέξτου, τὸ ἐνιστάμενον ἔτος εὑρίσκεται.

ιζʹ. Ἀναγκαῖον δὲ πρὸς τούτοις εἰδέναι, καὶ τὸν ἀριθμὸν τῶν ἀπὸ Ἀδὰμ ἐτῶν. εἰσὶν οὖν κατὰ τὴν ἐκκλησιαστικὴν ψῆφόν τε, καὶ παράδοσιν, μέχρι τῆς ἐνεστώσης ιδʹ ἰνδικτιῶνος, ἔτους λαʹ τῆς βασιλείας Ἡρακλείου τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως, ἔτη ͵ϛρλγʹ. τῷ γὰρ ταῦτα μερίζειν καὶ ἀναλύειν, γινώσκεται τοῦ τε ἡλίου, καὶ τῆς σελήνης, καὶ τοῦ βισέξτου τὸ ἐνιστάμενον ἔτος. οἷον τὸ μὲν τοῦ ἡλίου ἔτος, διὰ τοῦ εἰς κηʹ μερίζειν· τοσαῦτα γὰρ, τουτέστιν κηʹ, τὰ τοῦ ἡλίου ἔτη καθέστηκεν. τὸ δὲ τῆς σελήνης ἔτος, διὰ τοῦ εἰς ιθʹ πάλιν. ἐπειδὴ καὶ τὰ ταύτης τοσαῦτα, καθὼς ἔφην, εἰσίν. οὕτω δὲ καὶ τὸ τοῦ βισέξτου, διὰ τοῦ εἰς τετράδα. διὰ γὰρ τῆς ἀναλύσεως τῶν ἀπὸ Ἀδὰμ ἐτῶν, γινώσκεται τούτων ἕκαστον ἐκεῖνο σαφῶς ὑπάρχον τὸ ἰσάριθμον τῶν ὑπολειπομένων ἐτῶν. οἷον, εἰ μὲν ἓν ἀπομένοι διὰ τῆς εἰς κηʹ, ἢ ιθʹ, ἢ εἰς τετράδα ἀναλύσεως· ὅτι πρῶτόν ἐστι τὸ ἐνιστάμενον τοῦ ἡλίου, ἢ τῆς σελήνης, ἢ τοῦ βισέξτου κατὰ τὴν δὲ τὴν ἐπινέμησιν ἔτος. εἰ δὲ δύο, ὅτι δεύτερον. οὕτω δὲ καὶ γʹ, ἐὰν γʹ. καὶ καθ' ἑξῆς μέχρι τῶν κηʹ, ἢ ιθʹ, ἢ τῶν δʹ ἐτῶν. καὶ οὕτως τὸ πρόσφορον καὶ ἐνιστάμενον ἔτος ἑκάστου τούτων διαγινώσκεται.

Altera ratio, qua annus Solis, Lunæ, aut biſexti numeratur.

XVIII. POteſt & alio modo iſtud inveniri. Nam ſi quis ſummam illam annorum 6133 per 532 dividat, habebit integras periodos undecim annorum 532, & ex duodecima annos 281. Hos ſi per XXVIII ſimili ratione ad conſequendos annos Solis diſtribuat: vel per XIX, ob lunarem annum: vel quatuor, ob biſextum; horum ſingillatim labentem deprehendet annum. Cæterùm numerus iſte 532 annorum fit ductis in ſe mutuò Lunæ ac Solis annis. Nam ſive XIX annos per XXVIII multiplices; ſive hos per illos, numerum eumdem efficies 532. Sic igitur patefacta ratione, qua in annis ab Adamo, qui ſunt 6133; & in duodecima periodo, hoc eſt in annis ejus 281, currentem annum Solis, Lunæ, ac biſexti cognoſcere poſſumus; exponenda deinceps methodus eſt, per quam, quod caput eſt, Introitus jejuniorum diem, ac Reſurrectionis in eodem canone deprehendemus.

Πῶς ἄλλως τὸ ἔτος τοῦ ἡλίου, καὶ τῆς σελήνης, καὶ τοῦ βισέξτου ψηφίζεται.

ιηʹ. Ἔστι δὲ πάλιν ταῦτα ψηφίζειν καὶ καθ' ἕτερον τρόπον. εἰ γάρ τις τὰ αὐτὰ ͵ϛρλγʹ ἔτη, μερίσει εἰς φλβʹ ἔτη, εὑρήσει ιαʹ μὲν περιόδους ἀπὸ φλβʹ ἐτῶν τετελεσμένας. τὴν δὲ δυοκαιδεκάτην, ἔχουσαν ἔτη σπαʹ. ταῦτα οὖν τὰ σπαʹ κατὰ τὸν ὅμοιον τρόπον εἰς κηʹ διὰ τὸν ἥλιον, ἢ εἰς ιθʹ, διὰ τὴν σελήνην, εἰς τέσσαρα, διὰ τὸ βίσεξτον μεριζόμενα τούτων ἑκάστου τὸ ἐνιστάμενον ἔτος ποιεῖ πάντως γινώσκεσθαι. τὰ δὲ φλβʹ ἔτη, κατὰ συμπλοκὴν γίνονται τῶν τε τῆς σελήνης ἐτῶν πρὸς τὰ τοῦ ἡλίου, καὶ τῶν τούτου, πρὸς τὰ ἐκείνης. εἴ τε γὰρ τὰ ιθʹ τοῖς κηʹ συντεθῶσιν· εἴ τε τὰ κηʹ, τοῖς ιθʹ συμπλακῶσι, τὸν ἀριθμὸν τῶν φλβʹ ἐτῶν ἐκπληροῦσιν· οὕτως οὖν δειχθέντος διά τε τῶν ἀπὸ Ἀδὰμ ἐτῶν, ἤγουν τῶν ͵ϛρλγʹ. διά τε τῆς ἐνεστώσης δυοκαιδεκάτης περιόδου, τουτέστι τῶν σπαʹ· τοῦ τρόπου καθ' ὃν τὸ ἐνιστάμενον τοῦ τε ἡλίου, καὶ τῆς σελήνης, καὶ τοῦ βισέξτου ἔτος γινώσκεται. προσήκει λοιπὸν ἀποδεῖξαι τὴν μέθοδον, ἐξ ἧς τὴν κυριωτάτην ἡμέραν τῆς παρεισβάσεως, καὶ τῆς ἀναστάσεως, ἐκ τοῦδε τοῦ κανονίου συντόμως καταλαβεῖν. *

* Deeſt demonſtratio.

Demonſtratur qua ratione Paſcha quotannis computari ex illo canone poſſit.

XIX. UBi per illam, quam ſuprà dilucidè propoſuimus, computandi methodum, tam inſtantem annum Lunæ repereris; (ut, exempli cauſsâ, decimumquintum

Ἀπόδειξις τοῦ τρόπου, καθ' ὃν τις τὸ Πάσχα καθ' ἕκαστον ἔτος ψηφίζειν ἐκ τοῦδε τοῦ κανονίου δυνήσεται.

ιθʹ. Ἐπισκοπουμένου τοίνυν διὰ τῆς εὐκρινῶς ἀνωτέρω ῥηθείσης ψήφου τοῦ τε ἐνεστῶτος τῆς σελήνης ἔτους· φέρε εἰπεῖν ὡς ἐπὶ τοῦ εἰσιέναι μέλλοντος πεντεκαιδεκάτου. τοῦτο γὰρ ὑπάρχει τὸ

τὸ ἐν ᾧ μέλλει τὸ σωτήριον Πάσχα τελεῖσθαι τοῖς πνευματικῶς ἑορτάζουσιν. εἶτα πάλιν καὶ τοῦ εἰσιέναι μέλλοντος ἔτους * τῆς σελήνης γινωσκομένου, τουτέστιν τοῦ πρώτου· τοῦτο γάρ ἐστι τὸ εἰσερχόμενον· δεῖ κατὰ τάξιν ἐπιδεῖν ἐν τῷ δεξιῷ μέρει τοῦ κανονίου τὸ σελίδιον, ἐν ᾧ καταγέγραπται τὸ αὐτὸ πεντεκαιδέκατον ἔτος, καὶ εἰ μὲν αὐτὴν τὴν ἀναστάσιμον ἑορτὴν εἰδέναι θέλομεν, τὸν κατ' εὐθὺ τοῦ πεντεκαιδεκάτου τῆς σελήνης κείμενον ἔτους Ῥωμαϊκὸν μῆνα ζητοῦμεν ἐν τῷ πλησιάζοντι τῷ τροχῷ κανονίῳ. καὶ τοῦτον εὑρίσκοντες Ἀπρίλιον ὄντα, τὴν παρακειμένην αὐτῷ ποσταίαν, ἤγουν τὴν πρώτην κρατοῦμεν. ἐπειδὴ κατὰ ταύτην τὴν πρώτην τοῦ Ἀπριλίου μηνὸς ἡ δʹ γίνεται τοῦ φέγγους, ἤγουν τοῦ πρώτου καθ' Ἑβραίους μηνὸς, λέγω δὴ τοῦ Νισάν. κατὰ τὸ αὐτὸ ιεʹ ἔτος ἀεὶ τῆς σελήνης. καὶ ἐμβάλλομεν αὐτῇ τῇ πρώτῃ τοῦ Ἀπριλίου, τὰς ἐπακτὰς τοῦ εἰσιέναι μέλλοντος ἡλιακοῦ ἔτους, ἤγουν τοῦ πρώτου, τὸν ἀριθμὸν οὔσας ζʹ, καὶ ἐν αὐτῷ τῷ πρώτῳ ἔτει τοῦ ἡλίου καταγεγραμμένας. οὕτως οὖν τὰς ηʹ μερίζομεν εἰς ζʹ. καὶ ἐκ τῆς ἀπολιμπανομένης μιᾶς ἡμέρας, γινώσκομεν τὴν ἑβδομαδικὴν, ὡς πρώτη καθέστηκεν ἡ πρώτη τοῦ Ἀπριλίου μηνὸς, τουτέστιν ἁγία κυριακή. καὶ ἐκ ταύτης λοιπὸν εἰς τὴν ἐπιοῦσαν ἁγίαν ὑπερτιθέμεθα κυριακὴν τὴν τῆς ἀναστάσεως ἑορτήν· ἥτις ηʹ τοῦ Ἀπριλίου πρόδηλός ἐστιν. ἐπειδὴ τὸ Ἑβραϊκὸν Πάσχα, λέγω δὴ, τὴν δʹ καὶ ιʹ τοῦ φέγγους, ἤγουν τοῦ πρώτου καθ' Ἑβραίους μηνὸς, ὑπερβαίνειν προσήκει πάντως· ἡμᾶς εἴ τε κυριακῆς φθάσει, πρὸς τὴν ἄλλην ἁγίαν κυριακὴν μεταβαίνοντας· εἴ τε δευτέρας· ἤ τε τρίτης· εἰς τὴν αὐτὴν ὁμοίως κυριακήν. εἰ δὲ σαββάτῳ· τῇ ἐπαύριον, πεντεκαιδεκαταίας οὔσης τὸ τηνικαῦτα δηλαδὴ τῆς σελήνης. ὥσπερ οὖν ὁπηνίκα πάλιν ἀπὸ κυριακῆς εἰς τὴν ἐπιοῦσαν ἁγίαν κυριακὴν ποιούμεθα τὴν ὑπέρθεσιν, εἰκάδα πρώτην ἐχούσης. ὡς γὰρ ἤδη λέλεκται, μέχρι μόνον ζʹ ἡμερῶν ποιούμεθα τὴν ἀπὸ τοῦ Ἑβραϊκοῦ Πάσχα μετάβασιν· ἤγουν τῆς δʹ καὶ ιʹ τοῦ φέγγους· περαιτέρω δὲ οὐδαμῶς. καὶ ταῦτα μὲν περὶ τοῦ Πάσχα.

* Cod. [illegible]

proximè futurum. Hic eſt enim, in quo ſalutare Paſcha peragetur ab iis, qui ſpirituali ritu feſta celebrant:) quam Solis ſimiliter ſequentem, utpote primum, quem proximè ſumus ingreſſuri: quære in dextro Canonis latere verſum, in quo idem ille annus decimus quintus adſcriptus eſt. Ac ſi diem ipſum Reſurrectionis noſſe libeat, quærendus eſt Romanus menſis, qui ex adverſo decimiquinti anni lunaris in proximo rotæ canone ſitus eſt. quem Aprilem eſſe reperies. Mox ad eumdem adhærentem diem, videlicet Calendas colliges: quoniam quidem in Calendas Apriles Luna XIV Judaïci Niſan incidet anno Lunæ XV. Ad hunc primum Aprilis diem addendæ ſunt epactæ proximè ſequentis anni Solis, quem proximum eſſe diximus. Eæ ſunt VII, ad primum annum Solis adnotatæ. Ita diviſis VIII per VII, relinquitur I, ex qua feriam cognoſcimus Calendarum Aprilium, nempe Dominicam. à qua in ſequentem Dominicam Reſurrectionis ſolemne diffunditur, quam manifeſtum eſt octavam Aprilis eſſe diem. Nos enim Paſcha Judæorum, id eſt XIV Lunæ, ſive menſis illorum primi, neceſſe eſt tranſcendere, ac ſi in Dominicam incurrat, alteram in Dominicam tranſitum facere. ſive in feriam ſecundam, aut tertiam: in eamdem transferre Dominicam. Quòd ſi Sabbato XIV contingat, poſtridie Paſcha fiet, Luna XV. quemadmodum cùm à Dominica alteram in Dominicam diffunditur, Luna XXI accidit. Nam, ut jam diximus, non ultra ſeptenos dies à Judaïco Paſchate fit tranſlatio, hoc eſt à XIV Luna.

Περὶ τῆς ιʹ τοῦ ἑβδόμου μηνὸς, πῶς καὶ αὕτη καταλαμβάνεται.

κʹ. Εἰ δὲ τὴν ιʹ τοῦ καθ' Ἑβραίους ἑβδόμου μηνὸς γνῶναι θελήσειέ τις, ἐν τῷ δεξιωτέρῳ, τουτέστι τῷ μετὰ τὸ Πάσχα διαγεγραμμένῳ κανονίῳ, τὸν πλησιάζοντα τῷ αὐτῷ τῆς σελήνης εʹ καὶ ιʹ ἔτει Ῥωμαϊκὸν μῆνα σκοπείτω. λέγω δὲ τὸν Σεπτέμβριον. καὶ τὴν παρακειμένην αὐτοῦ ποσταίαν κρατῶν καʹ ὑπάρχουσαν, γνώσεται μὲν ὡς κατ' αὐτήν ἐστιν ἀεί. κατὰ τὸ αὐτὸ ιεʹ τῆς σελήνης ἔτος, ἡ ιʹ τοῦ αὐτοῦ καθ' Ἑβραίους μηνός. εἰ δὲ καὶ τὴν ἑβδομαδικὴν βουληθείη μαθεῖν ἡμέραν, τῇ αὐτῇ τοῦ Σεπτεμβρίου μηνὸς ποσταίᾳ, λέγω δὲ τῇ εἰκάδι πρώτῃ, τὰς παρακειμένας ἀπὸ σηρικοῦ προσθετὰς ἡμέρας ἐπιβάλοι, μετὰ καὶ τῶν ἐπακτῶν τοῦ ἐνεστῶτος ἡλίου ἔτους· οἷον ὡς ἐπὶ τοῦ πρώτου ἔτους τὰς ζʹ ἡμέρας· καὶ οὕτως τὰς ὅλας, ἤγουν τὰς λδʹ, εἰς τὰς ζʹ μερίσει, καὶ ἐκ τῶν ἀπολιμπανομένων ἕξ, ἰσάριθμον εἴσεται πάντως οὖσαν τὴν ἑβδομαδικὴν, τουτέστι παρασκευήν. κατὰ ταῦτα δὲ χρήσεταί τις καὶ ἐφ' ἑκάστῳ ἔτει τῶν ἐκ δεξιῶν πτυγμένων τοῦ κανονίου. βουλόμενος μαθεῖν εἴτε τὴν δʹ καὶ ιʹ τοῦ καθ' Ἑβραίους πρώτου μηνὸς, εἴτε τὴν τοῦ ἑβδόμου δεκάτην ἤγουν ιʹ τοῦ ἑβδόμου μηνὸς, οὐ τελετῆς μᾶλλον εἰς αὐτὴν γινομένης ἡμῖν. οὐδὲ γὰρ τελεῖται τὸ σύνολον· διεγράψαμεν, ἢ τῶν οὐδὲν ἀγνοεῖν θελόντων χάριν φιλομαθείας. ταῦτα καὶ περὶ τῶν ἐκ δεξιῶν τοῦ κανονίου κειμένων.

De ſeptimi menſis die X, quomodo etiam ipſa reperiatur.

SI ſeptimi menſis Judaïci decimum diem noſſe ſtudeat aliquis, in dexteriore Canonis parte, quæ Paſchatis verſibus proxima eſt; inquiratur menſis Romanus anno Lunæ quintodecimo reſpondens. (Is eſt September) una cum quota die, quæ eſt XXI. Noverit ergo perpetuò anno Lunæ XV in eamdem diem incidere decimam diem Judaïci menſis. Quòd ſi feriam præterea requirit; ad XXI Septembris regulares addantur, qui ferico ad illum diem adſcribuntur, unà cum epactis anni Solaris, quæ ſunt ſeptem. Summam dierum XXXIV dividat per VII. relinquentur VI, quæ indicant feriam eſſe VI, ſive Paraſceven. Eadem methodus adhibenda annis omnibus, quæ in dextra parte Canonis occurrunt: ſive quis XIV primi menſis Judaïci noſſe velit: ſive X menſis ſeptimi. Hanc porrò ſeptimi menſis X diem non tam, quòd in ea ſolenne peragamus ullum. (Non enim ullo modo celebratur à nobis) quàm ut eorum ſtudio ſatisfaceremus, qui nihil ignorare volunt, deſcribendam putavimus. Hactenùs de dextra Canonis parte. XX.

Περὶ τῆς τῶν ἁγίων νηστειῶν παρεισβάσεως, πῶς καὶ ταύτην κατὰ πᾶν ἔτος γινώσκομεν.

καʹ. Εἰ δὲ καὶ τὴν παρείσβασιν τῶν ἁγίων νηστειῶν εἰδέναι θελήσειέ τις, ἐκ τῆς ἐξ εὐωνύμων διαγραφῆς, τὸ κατὰ διάμετρον τοῦ ιεʹ τῆς σελήνης ἔτους τοῦ ὄντος ἐκ δεξιῶν· σκοπήσει δι' ἀκριβείας ἐξ ἀριστερῶν τὸ δʹ τῆς σελήνης ἔτους διαγεγραμμένον. εἴπομεν γὰρ * ὡς τέλει τοῦ ἐνεστῶτος ἔτους, ἡ παρείσβασις τελεῖται τῶν ἁγίων νηστειῶν. εὑρίσκων οὖν τὸ αὐτὸ δʹ καὶ ιʹ τῆς σελήνης ἔτος, τὸν παρακείμενον Ῥωμαϊκὸν μῆνα σκοπήσει, τουτέστι τὸν Φεβρουάριον. καὶ τούτου τὴν ποσταίαν λαμβάνων πλησίον αὐτοῦ πτυγμένην, ἤγουν τὴν δʹ, καὶ ἐμβάλλων αὐτῇ τὰς παρακειμένας ἀπὸ σηρικοῦ προσθετὰς δʹ ἡμέρας, καὶ τὰς τοῦ εἰσιέναι μέλλοντος ἡλιακοῦ ἔτους· φημὶ δὲ τοῦ πρώτου τὰς ζʹ ἡμέρας, ἤγουν ἐπακτάς. ἀναλύσει τὰς ὅλας εʹ καὶ ιʹ τὸν ἀριθμὸν οὔσας εἰς τὰ ζʹ. κἀκ τῆς ἀπομενούσης μιᾶς ἡμέρας, πρώτην εἴσεται τὴν τῆς ἑβδομάδος ἡμέραν ὑπάρχουσαν· ἤγουν ἁγίαν κυριακὴν, τὴν λεχθεῖσαν τοῦ Φεβρουαρίου μηνὸς τετάρτην. ἐξ ἧς ἐπὶ τὴν ἄλλην ὑπερτιθέμενος ἁγίαν κυριακὴν, κατ' ἐκείνην ἑνδεκάτην τοῦ αὐτοῦ Φεβρουαρίου τυγχάνουσαν, εὑρήσει πληρουμένην πάντως κατὰ τὸ παρὸν δʹ καὶ ιʹ τῆς σελήνης ἔτος, τὴν ἀποκρεώσιμον ἑορτήν· προσήκει γὰρ τὴν ἴσην μετάστασιν τηρεῖν καὶ ἐπὶ τῆς παρεισβάσεως ἐν τῷ εὐωνύμῳ κανονίῳ, τῆς ἐν τῷ δεξιῷ γινομένης ἡμῖν, κατὰ τὴν δʹ καὶ ιʹ τοῦ καθ' Ἑβραίους πρώτου μηνὸς, ἔκ τε κυριακῆς, καὶ δευτέρας, καὶ τρίτης, καὶ ἁπλῶς σαββάτου ἐπὶ τὴν ἑξῆς ἁγίαν κυριακὴν μεταβαίνοντας. οὕτως οὖν καὶ ἐπὶ παντὸς ἄλλου σελήνης ἔτους, τὴν παρείσβα-

* ἴσως [illegible]

De Introitu ſanctorum jejuniorum, qua ratione quotannis inveſtigandus ſit.

QUi ſanctorum jejuniorum Introitum explorare voluerit, quærat ſiniſtram Canonis tabellam, in eáque ex adverſo lunaris anni XV, qui in dextra parte repertus eſt, accuratè veſtiget annum lunæ XIV. Jam enim admonuimus in finem præſentis anni ſanctorum jejuniorum Introitum cadere. Invento anno XIV lunæ, adjacentem ei Romanum menſem obſervet, nempe Februarium. cujus quotum diem adſcriptum notet, IV. Ad hunc regulares addat IV ferico ſcriptos cum inſequentis anni primi Solis epactis VII. Summam inde conflatam XV in VII partiatur. reliqua dies I oſtendit primam eſſe feriam hebdomadis, hoc eſt Dominicam, quæ eſt quarta menſis Februarii, à qua in ſequentem Dominicam diffundens, in hac ipſa, quæ dies eſt undecima Februarii, celebrandum reperiet hoc anno lunæ XIV ineuntis jejunii feſtum diem. Etenim par, eadémque tranſlatio in Introitu jejunii in ſiniſtro Canone ſervanda eſt, quam in dextro, ad quartamdecimam primi Judaïci menſis adhibemus. ut à Dominica, feria ſecunda, & tertia, adeóque Sabbato, ad ſequentem Dominicam tranſitum faciamus. Sic igitur in alio quovis anno Lunæ computanda eſt Introitus XXI.

Introitus dies: ut, quod iterum explicandi cauſsâ referemus, primùm annus habeatur: tum Romanus menſis, ejúſque dies, ad quem regulares addendi ſunt, qui ſerico ad eum diem adſcribuntur. poſtremò præſentis anni Solis epactæ capiendæ ſunt. Has enim per unum, & eumdem Solis annum, utputà præſentem, in omnibus Canonis iſtius menſibus adhibemus: ſic ut horum quotis diebus accedant, unà cum regularibus rubro notatis. Summa deinde per ſeptem diviſa, quod reliquum erit, feriam hebdomadis dabit. à qua demùm ad inſequentem Dominicam tranſibimus.

Quid in ſiniſtro canone obſervandum ſit in unoquoque biſexto.

XXII. HOc unum dumtaxat in ſiniſtro canone tenendum eſt, ut quoties biſextus incurrit, regulares rubros, qui ad menſium dies adnotati ſunt, uno minuamus. Ut ſi regularis ſit I, nihil addatur, ſed ſola Romani menſis quota die contenti, cum epactis Solis, ſummam in VII. partiamur. Sin IV ſunt regulares rubricati, III tantummodò ponantur, non IV. Quod eò fit, ut ex ipſo biſexto redundans dies eximatur, ne ſit ea fraudi, dum feriam hebdomadicam in duobus Romanis menſibus, Januario, & Februario quærimus. Hoc enim deſinente biſextilis putatur dies: anteà verò non item. Ac ſi quis in ſiniſtro illo Canone accuratè feriam inveſtiget, quoties annus biſextilis non erit, eadem occurret feria in Canone, qui Introitum exhibet à ſiniſtro latere, & in eo, qui Paſcha continet. Nam utrobique Dominicam, vel ſecundam feriam, aut alias deinceps habebimus. At in anno biſextili non eadem exiſtet, ſed una ampliùs quàm in ſiniſtro. Ut ſi Dominicam ſiniſter offerat; in dextro feriam ſecundam aſſequemur. Si ſecunda illìc incidat; hìc tertiam offendemus. Sic ubi Sabbatum in ſiniſtro prodierit; in dextro Dominica continget. Nam acceſſio biſextilis diei facit, ut ſiniſter uno die minorem præbeat. Igitur quandocumque propter biſextum Januarii, vel Februarii dies in Sabbatum incurrit in canone ſiniſtro; Martii verò vel Aprilis in Dominicam in dextro canone; hìc VII tranſgredi dies oportet, nimirum à ſecunda feria in Dominicam. illìc VIII, à Dominica in alteram Dominicam. ut poſt octo dies Introitus feſtum exacta ratione Dominicam attingat. Hoc enim modo diſtat ſiniſtri Canonis tranſlatio ab illa dextri: quòd prior ad octavum uſque diem propter biſextilem diem extenditur: dextri verò Canonis VII non excedit, ſed eo numero circumſcribitur. Hæc de cautione biſextilis anni.

De Epactis Solis; quæ ſint, & quis earum uſus.

XXIII. ATque ut ne Solis quidem epactæ à nobis inexploratæ relinquantur, Epactas annorum Solis definimus reſiduas hebdomadis ferias poſt eam, quæ Solarem annum auſpicatur; quæ retrò in eâdem hebdomadâ ad primam, ſive Dominicam uſque numerantur. Exemplum: Hic annus qui eſt Solis XXVIII, cœpit à Calend. April. feria VII, ſive Sabbato. Proinde epactas habet præteritos omnes dies, qui eadem hebdomade ad Dominicam pertinent, hoc eſt feriam V, IV, III, II, & Dominicam. Quare VI epactæ ſunt anni XXVIII. Cùm ergo ſequens annus, qui primus erit Solis, à feria prima, ſive Dominica ineat, VII habet epactas, quæ à Sabbato uſque ad præcedentem Dominicam numerantur. Ita ſecundus annus, quoniam à feria ſecunda hebdomadica incipit, epactas habet I, hoc eſt ſanctam Dominicam. cùm nullam alteram, præter Dominicam, in eâdem hebdomada antecedentem habeat. Ceterùm has ipſas dies retinemus, ut hebdomadicè, id eſt ab initio hebdomadis annum omnem Solis ordinemus, ad inveſtigandam feriam, quandocumque eam in qualibet die menſis obtinere volumus. Nam niſi hoc modo, à prima die hebdomadis, ſeu Dominica, annus quilibet Solis regulam capiat; non poteſt ab iis, qui calculos ſubducere voluerint, hebdomadis dies in ullo menſe deprehendi. Sit, exempli cauſſâ, præſens annus Solis, ut an-

σιν δέον ψηφίζειν· οἷον ἵν' ἐπιτόμως καὶ αὖθις σαφηνισθῇ, τὸ ἔτος τηρεῖν· εἶτα τὸν Ῥωμαϊκὸν μῆνα, καὶ τούτου τὴν ποσταίαν. καὶ ἐμβάλλειν αὐτῇ τὰς ἀπὸ σηρικοῦ παρακειμένας προσθετάς. καὶ μὴν καὶ τὰς ἐπακτὰς τοῦ ἐνεστῶτος ἡλιακοῦ ἔτους, τῶν γὰρ αὐταῖς ἐπακταῖς, ἑνὸς καὶ τοῦ αὐτοῦ ἡλιακοῦ ἔτους, οἷον τοῦ ἐνεστῶτος, ἐφ' ὅλων τῶν ἐν τῷδε τῷ κανονίῳ τεταγμένων κεχρῆσθαι προσήκει μηνῶν, ταῖς αὐτῶν ποσταίαις ταύτας ἐμβάλλοντας, μετὰ τῶν ἀπὸ σηρικοῦ προσθετῶν. καὶ οὕτω μερίζειν εἰς τὰ ζ'. καὶ ἐκ τῶν ἀπομενουσῶν τὴν ἑβδομαδικὴν ἡμέραν γινώσκειν. ἐκ ταύτης δὲ λοιπὸν μεταβαίνειν ἐπὶ τὴν ἑξῆς ἁγίαν κυριακήν.

Τίς ἡ ὀφειλομένη γενέσθαι παρατήρησις ἐν τῷ εὐωνύμῳ τοῦ κανονίου κατὰ πᾶν βίσεξτον.

ἘΚεῖνο δὲ μόνον ἐν τῷ εὐωνύμῳ προσήκει τηρεῖν κανονίῳ· ἵν' ὅτε βίσεξτον συμφθάσῃ, τὰς παρακειμένας τῇ ποσταίᾳ τῶν μηνῶν προσθετὰς ἀπὸ σηρικοῦ ἡμέρας ποιησώμεθα παρὰ τὴν μίαν ἐπ' αὐτοῦ ψηφιζομένου ἔτους· οἷον εἰ μὲν μία ἐστὶν ἡ προσθετή, εἰς τὸ μηδ' ὅλως βάλλειν αὐτήν. ἀλλὰ μόνην τὴν ποσταίαν τοῦ Ῥωμαϊκοῦ μηνὸς, καὶ τὰς ἐπακτὰς τοῦ ἡλίου· καὶ οὕτως μερίζειν εἰς τὰ ζ'· εἰ δὲ δ' εἰσὶν αἱ ἀπὸ σηρικοῦ προσθεταὶ, τρεῖς ἀντὶ δ', βάλλειν, ἀλλὰ μηδαμῶς τὰς δ'. γίνεται δὲ τοῦτο δι' ὑφαίρεσιν τῆς ἐξ αὐτοῦ τοῦ βισέξτου περιττευομένης μιᾶς ἡμέρας. ὡς ἂν μὴ δι' αὐτῆς σφαλῶμεν περὶ τὴν τῆς ἑβδομαδικῆς ἡμέρας ἐξεύρεσιν, ἐν τοῖς δυσὶ Ῥωμαϊκοῖς μησὶ, τῷ τε Ἰανουαρίῳ, καὶ τῷ Φεβρουαρίῳ. μετὰ γὰρ τὴν τούτου περαίωσιν, τὸ βίσεξτον ψηφίζεται· ἀλλ' οὐδαμῶς πρὸ ταύτης. ἔσται δὲ τοῖς τὴν ἑβδομαδικὴν ἀκριβῶς ἐκ τοῦδε τοῦ κανονίου διερευνῶσιν ἡμέραν, ὅτε μὲν οὐκ ἔστι βίσεξτον, μιᾶς καὶ τῆς αὐτῆς κατάληψις, ἔν τε τῷ τῆς παρεισβάσεως κανονίῳ, λέγω δὲ τῷ ἐξ εὐωνύμων κειμένῳ, καὶ τῷ τοῦ Πάσχα, τουτέστι κυριακῆς, καὶ κυριακῆς. ἢ δευτέρας, καὶ δευτέρας. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ἡμερῶν. ὅτε δὲ βίσεξτόν ἐστιν, οὐ τῆς αὐτῆς καὶ μιᾶς, ἀλλὰ τῆς μετὰ τὴν μίαν ἐν τῷ εὐωνύμῳ ψηφιζομένης. οἷον κυριακῆς ἐν τῷ εὐωνύμῳ, φέρε εἰπεῖν· ἐν τῷ δεξιῷ, δευτέρα πάντως εὑρίσκεται. δευτέρας δὲ πάλιν ἐκεῖ, τρίτη προδήλως ἐνταῦθα. οὕτω δὲ καὶ σάββατον ἐὰν συμφθάσῃ, κυριακὴ προδήλως ἐν τῷ δεξιῷ κανονίῳ ψηφίζεται. ἡ γὰρ προσθήκη τῆς τοῦ βισέξτου ἡμέρας, τὴν τῆς μιᾶς ὑπέρβασιν ἐν τῷ εὐωνύμῳ ποιεῖ. δεῖ οὖν ὁπηνίκα διὰ τὸ βίσεξτον σαββάτῳ πίπτουσαν ἴδοιμεν τήν τε τοῦ Ἰανουαρίου, καὶ Φεβρουαρίου μηνὸς ποσταίαν, ἐν αὐτῷ τῷ εὐωνύμῳ· κυριακῆς δὲ τὴν τοῦ Μαρτίου, καὶ Ἀπριλίου μηνὸς ἐν τῷ δεξιῷ κανονίῳ· ἐν τούτῳ μὲν τὰς ζ' μεταβαίνειν ἡμέρας· ὡς ἀπὸ δευτέρας εἰς κυριακὴν φερομένους· ἐν ἐκείνῳ δὲ τὰς η' μεθίστασθαι πάντως, ὡς ἀπὸ κυριακῆς εἰς κυριακὴν ἀγομένους. ἵνα μετὰ τὰς η' διακριβωθῇ κατ' ἐκείνην τὴν κυριακὴν ὁριζομένη δεόντως ἡ τῆς παρεισβάσεως ἑορτή. κατὰ τοῦτον γὰρ τὸν τρόπον ἡ ἐν τῷ εὐωνύμῳ μετάθεσις παραλλάττει πρὸς τὴν ἐν τῷ δεξιῷ γινομένην μετάστασιν. ὅτι καὶ μέχρις ὀγδόης ἡμέρας ἐκτείνεται διὰ τὸ βίσεξτον, τῆς ἐν τῷ δεξιῷ μηδαμῶς τὰς ζ' διερχομένης, ἀλλ' ἕως αὐτῶν καὶ μόνον ὁριζομένης. ταῦτα καὶ περὶ τῆς κατὰ τὸ βίσεξτον ὀφειλούσης γενέσθαι παρατηρήσεως. κβ'.

Περὶ τῶν ἐπακτῶν τοῦ ἡλίου. τίνες αὗται τυγχάνουσι, καὶ διὰ τί ταύταις προσχρώμεθα.

ὩΣ ἂν δὲ μηδὲ ὁ περὶ τῶν τοῦ ἡλίου λόγος ἡμῖν ἀνεξέταστος ἀπομείνοι, λέγομεν ἐπακτὰς εἶναι τῶν τοῦ ἡλίου ἐτῶν, τὰς ἀπὸ τῆς ἑβδομαδικῆς ἡμέρας, ἐξ ἧς τὸ ἡλιακὸν ἔτος ἀπάρχεται, κατὰ ἀναποδισμὸν λειπούσας ἐν τῇ αὐτῇ ἑβδομάδι μέχρι τῆς πρώτης, ἤγουν τῆς ἁγίας κυριακῆς· οἷον φέρε εἰπεῖν ὡς ἐπὶ τοῦ ἐνεστῶτος κη' ἔτους· ἤρξατο γὰρ κατὰ τὴν πρώτην τοῦ Ἀπριλίου μηνὸς, ἀπὸ ἑβδόμης, ἤγουν σαββάτου ἡμέρας. τὰς οὖν διελθούσας ἡμέρας τῆς αὐτῆς ἑβδομάδος ἕως τῆς κυριακῆς, ἐπακτὰς κέκτηται. τουτέστι τὴν παρασκευὴν, τὴν ε', τὴν δ', τὴν γ', τὴν β', καὶ αὐτὴν τὴν ἁγίαν κυριακήν. ὡς ἐντεῦθεν ἓξ ὑπάρχειν τὰς αὐτοῦ τοῦ κη' ἔτους ἐπακτάς. ὅθεν ἐπειδὴ τὸ εἰσιέναι μέλλον, φημὶ δὲ τὸ πρῶτον, ἀπὸ πρώτης ἄρχεται, τουτέστιν ἁγίας κυριακῆς, ζ ἡμέρας, ἤγουν τὰς ἀπὸ σαββάτου μέχρι τῆς διελθούσης ἁγίας κυριακῆς ἀριθμουμένας ἐπακτὰς κέκτηται. ὁμοίως δὲ καὶ τὸ δεύτερον ἔτος, ὅτι περ ἐκ τῆς κατὰ τὴν ἑβδομάδα δευτέρας ἡμέρας ἄρχεται, μόνην τὴν μίαν, τουτέστι τὴν ἁγίαν κυριακὴν, ἐπακτὴν κέκτηται· ὡς οὐκ ἄλλην ἡμέραν, ἢ μόνην αὐτὴν τὴν κυριακὴν, κατὰ τὴν αὐτὴν ἑβδομάδα προηγησαμένην ἔχον. ταύτας δὲ τὰς ἡμέρας τηροῦμεν, ἵν' ἑβδομαδικῶς, τουτέστιν ἀπὸ ἀρχῆς ἑβδομάδος πᾶν ἡλιακὸν ἔτος κανονίσωμεν, εἰς εὕρεσιν τῆς ἑβδομαδικῆς ἡμέρας· ὁπηνίκα ταύτην καὶ εἰς ἑκάστου μηνὸς ποσταίαν βουληθῶμεν μαθεῖν. εἰ μὴ γὰρ οὕτως τοῦτο, ἀπὸ τῆς κατὰ τὴν ἑβδομάδα πρώτης ἡμέρας, ἤγουν ἁγίας κυριακῆς, πᾶν ἡλιακὸν ἔτος κανονισθῇ, ἀμήχανον τὴν ἑβδομαδικὴν ἡμέραν ἐν οἱῳδήποτε καταλαμβάνειν μηνὶ τοὺς ψηφίζειν ἐθέλοντας. οἷον τί λέγω; κγ'.

τὸ

τὸ παρὸν, ὡς ἔφην; κη' ἔτος, σαββάτῳ λαβὸν τὴν ἀρχήν, εἰ μὴ τὰς πρὸ τοῦ σαββάτου ἓξ ἡμέρας, τῇ πρώτῃ τοῦ Ἀπριλίου μηνὸς ἐπεβάλομεν, οὐκ ἂν σάββατον οὖσαν αὐτὴν ἐγνώσκομεν. ἐπειδὴ γὰρ εἰς παρασκευὴν τὴν κατάληξιν ἔσχε τὸ διελθὸν κζ' ἔτος, αἱ ἰσάριθμοι τῆς παρασκευῆς ἡμέραι λεκταὶ μὲν ἐκείνου τυγχάνουσιν, εἰς αὐτὴν περαιωθέντος. τοῦ τε ἐπακταὶ, διὰ τὸ ἐπάγεσθαι τῇ πρώτῃ τοῦ Ἀπριλίου, καὶ ταύτῃ διασημαίνειν τὴν ἑβδομαδικὴν ἡμέραν, ἀφ' ἧς τὸ αὐτὸ κη' ἔτος ἀπήρξατο. οὕτως γὰρ ἥ τε κατὰ τὴν ἑβδομαδικὴν ἁρμονίαν φυλάττεται πάντως συνέχεια, καὶ ἡ τῶν ἡλιακῶν ἐτῶν ὡς ἀπὸ ἀρχῆς ἑβδομάδος, ἤγουν πρώτης ἡμέρας, κανονίζεται κίνησις. ἐξ οὗ περ οὐδὲ μία τοῖς ψηφίζειν ἐθέλουσι γίνεται πλάνη πρὸς τὴν ἐν οἱῳδήποτε μηνὶ ποσταίαν τῆς ἑβδομαδικῆς ἡμέρας κατάληψιν.

Πῶς τὴν ἑβδομαδικὴν ἡμέραν εἰς ἑκάστου μηνὸς ποσταίαν ἐστὶν εὑρεῖν.

κδ'. ΤΩι αὐτῷ γὰρ τρόπῳ καὶ εἰς τὴν ἑκάστου μηνὸς ποσταίαν κεχρῆσθαι προσήκει τὴν ἑβδομαδικὴν ἐρευνῶντας, ᾧ περ κεχρήμεθα καὶ εἰς τὴν τοῦ Ἀπριλίου πρώτην. οἷον τὰς ἐπακτὰς ἐπιβάλλειν τοῦ ἐνεστῶτος ἡλιακοῦ ἔτους ταῖς ἀπ' αὐτῆς τῆς πρώτης τοῦ Ἀπριλίου, μέχρι τῆς ἐν οἱῳδήποτε μηνὶ ζητουμένης ἡμῖν ποσταίας. καὶ τὰς ὅλας εἰς τὰ ἑπτὰ μερίζειν, καὶ ἐκ τῶν ἀπομενουσῶν ἰσαρίθμου οὔσης γινώσκομεν τὴν τῆς ἑβδομάδος ἡμέραν. ἢ πάλιν καὶ κατ' ἄλλον τρόπον, αὐτάς τε τὰς ἐπακτὰς μόνας, καὶ τὰς μετὰ τὰς κη' τῶν μηνῶν περιττὰς, οἷον τοῦ Ἀπριλίου τὰς δύο, καὶ Μαΐου τὰς γ', καὶ τῶν καθεξῆς ὁμοίως, ἄχρις οὗ ἐὰν θέλωμεν ψηφίζειν μηνός· εἶτα τὴν ζητουμένην ἡμῖν ἐν αὐτῷ ποσταίαν ἐκείναις ἐμβάλλοντες, εἰς τὸν ζ πάλιν μερίζομεν. καὶ ἐκ τῶν ἀπομενουσῶν τὴν ἑβδομαδικὴν πάντως εὑρίσκομεν. ταύτης οὖν ἕνεκεν τῆς αἰτίας ἐπακτὰς ἔχειν λέγονται τὰ τοῦ ἡλίου ἔτη, καὶ διὰ ταύτην αὐταῖς προσηκόντως κεχρήμεθα.

Ποῖα τῶν τοῦ ἡλίου ἐτῶν ἀνέπακτα τυγχάνει.

κε'. ὍΘεν τὰ ἀπὸ κυριακῆς ἀρχόμενα ἔτη, οἷον τὸ πρῶτον, τὸ ἕβδομον, τὸ δυοκαιδέκατον, τὸ ιη', ἀνέπακτα λέγομεν, διὰ τὸ μηδὲ μίαν ἡμέραν προηγουμένην ἔχειν. οὐκ ἔστι γὰρ πρὸ τῆς πρώτης ἄλλην εὑρεῖν. ἐπεὶ ἐπακτὰς τὸ ἡλιακὸν ἔτος κατὰ τὸ τῆς σελήνης ἔτος οὐ κέκτηται. οὐδὲ γὰρ ὑστερεῖν ὑπάρχει πρὸς τὰς τξε', καθάπερ ἐκεῖνο τὰς ια'. δι' ἃς καὶ τὴν τῶν ἑπτὰ ἐμβολίμων δέχεται προσθήκην μηνῶν ὁ τῆς ἐννεακαιδεκατηρίδος κύκλος· ἀλλὰ μόνον τοῦ τὴν ἑβδομαδικὴν ἐν τοῖς δυοκαίδεκα μησὶν ἡμέραν ψηφίζεσθαι, κατὰ τὴν ἐν ἀρχῇ τῶν ἡλιακῶν ἐτῶν τῆς ἑβδομαδικῆς ἁρμονίας συνέχειάν τε, καὶ παρατήρησιν. ταῦτα καὶ περὶ τῶν ἐπακτῶν τοῦ ἡλίου.

Περὶ τῶν προσθετῶν· τίνες τε, καὶ πόθεν αὗται τυγχάνουσιν.

κϛ'. ΑἹ δὲ προσθεταὶ ἡμέραι, αἵ τινες ἀπὸ σηρικοῦ γεγραμμέναι εἰσὶν, ἃς καὶ συνεμβάλλειν ταῖς ἐπακταῖς τοῦ ἡλιακοῦ ἔτους εἰρήκαμεν, τῇ ποσταίᾳ τῶν Ῥωμαϊκῶν μηνῶν, καὶ οὕτως ποιεῖσθαι τὸν εἰς τὸν ζ' μερισμόν. τοῦτον ἔχουσι τὸν λόγον. διττῶς τῆς ἑβδομαδικῆς ἡμέρας, ὡς ἐδείχθη, ψηφιζομένης· κατά τε τὴν τῶν ὅλων ἄθροισιν ἡμερῶν. οἷον ἀπὸ τῆς πρώτης τοῦ Ἀπριλίου, μέχρις αὐτῆς τῆς τοῦ ζητουμένου μηνὸς ποσταίας, κατά τε τὴν τῶν μετὰ τὰς κη' περιττῶν ἡμερῶν διακράτησιν· ταύτας δὴ τὰς περιττὰς μέχρι μὲν Σεπτεμβρίου μηνὸς ιγ' εὑρισκομένας, μέχρι δὲ Ὀκτωβρίου ιε', τῶν ιγ' ἀφελόντες τὰς ζ'. * τὰς καὶ ἐν τῷ Σεπτεμβρίῳ διὰ σηρικοῦ κατετάξαμεν. ὥσπερ οὖν καὶ τῶν ιε' τὰς δύο πληροῦντες ἑβδομάδας, ἤγουν τὰς ιδ' ἡμέρας, τὴν μίαν ἀπὸ σηρικοῦ διεγράψαμεν ἐν τῷ Ὀκτωβρίῳ· ταυτὸν γάρ ἐστι τάς τε ιγ', ἢ τὰς ιε' τηρῆσαι, καὶ μόνας τὰς ϛ', καὶ τὴν α', ἐν τοῖς αὐτοῖς δύο κατατάξαι μησὶ, τῆς ἑβδομαδικῆς ἡμέρας χάριν εὑρήσεως. κατὰ τὴν συμπαράληψιν δηλονότι τῶν ἐπακτῶν τοῦ ἐνεστῶτος ἡλιακοῦ ἔτους, ὁποῖον δ' ἂν εἴη τὸ ψηφιζόμενον, εἴ τε πρῶτον, εἴ τε δεύτερον, μέχρις ἁπλῶς τοῦ κη' ἔτους. ὁ δὲ αὐτὸς καὶ περὶ τῶν δ', καὶ μιᾶς ἀπὸ σηρικοῦ προσθετῶν ἡμερῶν λόγος ἐστὶν ἔν τε Μαρτίῳ, καὶ Φεβρουαρίῳ, καὶ Ἰανουαρίῳ καταπεταγμένων. εἰ καὶ διὰ προσθήκης ἡμερῶν, ὁ * ἐκδηματικὸς αὐτῶν λόγος καὶ κανὼν γέγονε ἐναντίως τοῖς ἐξ ἀφαιρέσεως κανονιζομένοις μησίν· οἷον τῷ Σεπτεμβρίῳ, καὶ Ὀκτωβρίῳ· καθότι τοῦ ἐλθόντος ἡλιακοῦ ἔτους ἐκεῖνοι λογίζονται καὶ εἰσιν. οὐ γὰρ ἄλλως ἢ οὕτως ἔμελλον ἂν ἐκ τοῦ ἐνεστῶτος, ἤγουν τῶν αὐτοῦ ἐπακτῶν ψηφίζεσθαι, καὶ τὴν ἑβδομαδικὴν ἡμέραν δήλην ἐθέλουσι παριστᾶν. λυσιτελεῖ γὰρ πάντως εἰς τὸ τὴν μετάθεσιν ἀπὸ κυριακῆς, καὶ β', καὶ τρίτης, καὶ τῶν καθ'

* Leg. τάς.

* [illegible]

tè dictum eſt, XXVIII, qui à Sabbato cœptus eſt. Igitur niſi ad Calendas Apriles ſex ante Sabbatum dies addidiſſemus, nequaquam illas in Sabbatum incidiſſe noſſemus. Cùm enim præcedens annus, qui erat Solis XXVII, in Paraſceven deſierit, huic æqualis dierum numerus, qui annum illum terminavit, cujus Paraſceve clauſula fuit, præſentis anni ſunt epactæ, quaſi addititias dicas, quòd Calendis Aprilis addantur, eóque modo feriam indicent, à qua annus idem XXVIII exorſus eſt. Ita quippe in hebdomadica ſerie perpetuitas quædam ſucceſſionis tenetur, & anni Solares ab hebdomadis initio, hoc eſt Dominica, tamquam regula pendentes curſus ſuos inſiſtunt. Unde cujuſcumque menſis dies congruenti feriæ citra calculi errorem poteſt attribui.

Qua ratione feria quocumque die menſis inveſtigari poteſt.

EAdem quippe methodus eſt inquirendæ cujuſcumque diei menſis feriæ, quam ad Calendas Apriles adhibuimus. Nimirum ut labentis anni Solis epactas adjiciamus ad dierum numerum, qui à Calendis April. ad eum, qui quæritur, cujuſlibet menſis diem fluxerunt: tum collectam ex omnibus ſummam per VII partiamur. Quod enim reliquum eſt feriam hebdomadicam ejuſdem numeri præbebit. Poteſt & alio modo reperiri. Epactas ſolas cum diebus menſium ſupra XXVIII dies excurrentibus, ad quotcumque menſes propagare calculum libebit, componito. velut ſumptis ex Aprili II, è Maio, III, & ſic deinceps ad propoſitum uſque menſem; cujus dies omnes ad eum, quo de quærimus, adjicientes, ſummam per VII dividimus. quod reliquum eſt, dat feriam quæſitam. Ob hanc igitur cauſſam anni Solis epactas habere dicuntur; & eaſdem nos, uti conſentaneum eſt, adhibemus. XXIV.

Quinam Solis anni epacta carere dicantur.

EX quo anni omnes, qui à Dominica incipiunt; velut primus, ſeptimus, duodecimus, decimus octavus: ſine epactis eſſe dicuntur; quòd nullam præcedentem diem habeant. Nam prior eſſe primâ nulla poteſt. Etenim non ſic epactas obtinere Solis annus, quomodo Lunæ, dicitur. Quippe nihil illi deeſt ad explendos CCCLXV dies, uti Luna undenis deficit: ideóque ſeptem intercalaribus menſibus augetur decemnovennalis Cyclus. ſed ob id unum, ut in menſibus duodecim feriam aſſequamur; prout ab exordio Solarium annorum hebdomadici orbis revoluta ſeries à majoribus accepta poſtulat. Hactenus de Solaribus epactis. XXV.

De addititiis, ſive regularibus: unde originem habeant.

REgulares dies rubro colore notati, quos Romanorum menſium quotis diebus cum epactis Solaribus addendos eſſe decrevimus; ut ſummæ per VII partitio fieret; hanc habent rationem. Cùm duobus modis hebdomadicam feriam, ut dictum eſt, computemus; primò collectis diebus omnibus à Calend. Aprilis uſque ad propoſitam diem: ſecundò, ſolis ſupra XXVIII ſuperfluis retentis: de his ipſis ſuperfluis, quæ ad Septembris finem, XIII conſiunt; ad Octobrem verò XV, ſeptem, quoad licet, detrahimus: fiunt ex XIII quidem reliquis ſex, quas ad Septembrem rubricatas appoſuimus. de XV verò deductis hebdomadis duabus, hoc eſt diebus XIV, reſiduam unam rubro colore ad Octobrem appinximus. Nam ſive XIII dies, aut XV retineamus, ſive ſex ſolas, vel unam ad eoſdem duos menſes applicemus, nihil ad feriam indagandam refert; quando præſentis anni Solis epactæ ſimul aſſumuntur: quicumque demum computetur annus, primus, aut ſecundus, uſque ad XXVIII. Eadem ratio eſt IV, & I rubricatorum regularium, quos ad Martium, Februarium, & Januarium adſcripſimus: etſi per dierum additionem hebdomadica ipſorum ratio, & regula conſtat, contrà quàm evenit iis menſibus, qui detractionem admittunt: veluti Septembri, & Octobri: quoniam ſequenti anno Solis tribuuntur, & ad eum pertinent. Haud enim aliter ex præſenti anno, & ejus epactis calculus iniri potuit, ut hebdomadicam feriam inquirentibus exhiberet. Quippe prorſus ad id expedit, ut tranſlatio fieri poſſit à Dominica, & ſecunda, tertiáve, ac ſequen- XXVI.

ſequentibus feriis in alteram Dominicam, in dextro, ac ſiniſtro canonio. quorum alterum ad Ingreſſum ſanctorum jejuniorum; ſive Carniſprivii feſtum: alterum ad ſalutare Paſcha refertur. Hactenus de rubricatis regularibus; ut omnibus, quæ canone iſto continentur expoſitis, eorum ſit ſtudioſis lectoribus comprehenſio facilis.

De Epactis Lunæ, quemadmodum computentur.

XXVII. HIs animadverſis, de epactis Lunæ, quæ in ſiniſtro canone ſunt, ſermo rurſus inſtituendus eſt, ac demonſtrandum quomodo computari & ipſæ debeant. Igitur currentem annum Lunæ per undecim multiplicare oportet: ut, exempli cauſſâ, hunc, qui agitur modò XIV. Summam inde collectam dierum CLIV, duobus minuere: quòd primus annus Lunæ IX tantummodò epactas habeat. Poſtea in XXX partiri CLII illos dies propter embolimos menſes. Reliquum eſt biduum, quæ anni iſtius epactæ ſunt, & ad eumdem annum Lunæ XIV in canone deſcriptæ. Idem in ceteris omnibus annis Lunæ facere convenit. Porrò epactæ iſtæ dies ſunt, quos annum Lunæ prorſus habere cognoſcimus in die Martii XXXI. quos quidem ſcire intereſt, ut quotum Lunæ diem in quolibet menſium duodecim computare, & inveſtigare poſſimus.

Quomodo in unoquoque menſe Lunæ quotam diem reperimus.

XXVIII. DIes omnes, qui à Calendis Aprilis ad diem menſis cujuſlibet Romani fluxerunt, colligimus. His epactas lunæ, de quibus dictum eſt, adjicimus, quaſcumque die Martii XXXI ſortita fuerit. Summam per XXIX ½ partimur. reliquum eſt ætas Lunæ. Hæc de Lunæ epactarum methodo, & inventione dicta ſint.

De Epactis Solis, quomodo & ipſæ computentur.

XXIX. EXplicandæ ſunt deinceps epactæ Solares, ac quemadmodum inveſtigare eas oporteat. Itaque propoſito anno Solis quolibet, ut hoc ipſo XXVIII; totidem, unâ demptâ, numerandæ ſunt dies, hoc eſt XXVII. quadrantes autem, nullo detracto, quot ſummæ toti competunt, aſſumendi; putà XXVIII quadrifariam diviſis, fiunt utique dies VII. quibus additis, ſummam XXXIV dierum per VII divide propter hebdomadas. Reſiduum, hoc eſt VI dies, pro epactis obtinebit hic annus XXVIII, quas ad eumdem annum poſuimus in canone: ut ad ceteros quæ cuique competebant. Idem fac in alio quovis anno, ut ejus epactas aſſequare.

Quomodo æquales, aut excedentes invicem epactas habeant anni Solares.

XXX. ANnus omnis Solaris diem cum quadrante pro epactis relinquit. quæ nihil aliud ſunt omninò præter diem illum cum quadrante, qui poſt hebdomadas LII integras de CCCLXV ¼ ſupereſt. Sed duos, vel tres, vel quatuor, & ad ſeptem uſque habere dicitur, quod diem illum & ¼ ad ſe mutuò tranſmittant, & augeantur. Nam ad integram hebdomadam, ſeptenóſque dies ordine fit progreſſio. unde rurſus ad initium reditur. Cùm autem biſextilis annus eſt, atque ex quadriennii quadrantibus dies una colligitur, ea accedente, ſequentis incrementum anni uno die fit majus. Nam pro uno biduum accipit. quod in anno ipſo XXVIII cernere licet. Quippe antecedens ipſum annus, hoc eſt XXVII. quatuor dumtaxat habet. at ille propter diei unius acceſſionem ſex ſibi vendicat. Unde neque in eamdem feriam annus ille XXVII deſiit, à qua initium habuit. Nam ſi dies tantùm haberet CCCLXV, in eamdem deſineret, à qua cœperat: velut à Dominica in Dominicam: aut à ſecunda feria in ſecundam. Sed quoniam diebus conſtat CCCLXVI, ideo in poſteriorem ea, unde cœpit, feriam deſinit. hoc eſt à Dominica in feriam ſecundam. vel ab hac in tertiam, & ita deinceps. Ob hanc cauſſam tenendæ ſunt Solis epactæ, & hoc, quo dictum eſt, modo putandæ. Nimirum, ut denuò repetamus idem, totidem dies, quotus numeratur annus quilibet Solis, una minùs aſſumendæ ſunt. dein-

ἑξῆς εἰς τὴν ἄλλην ἁγίαν κυριακὴν ποιήσασθαι ἐν τῷ δεξιῷ καὶ εὐωνύμῳ κανονίῳ· τὸ μὲν, ὡς εἴρηται, διὰ τὴν εἴσοδον τῶν ἁγίων νηστειῶν, ἤγουν τὴν ἀποκρεώσιμον ἑορτήν. τὸ δὲ, διὰ τὸ σωτήριον Πάσχα. ταῦτα καὶ περὶ τῶν ἀπὸ σηρικοῦ προσθετῶν ἡμερῶν, ὡς ἂν διὰ πάντων τῶν κατὰ τόδε τὸ κανόνιον ἐξηγήσεως τρανωθείσης, ἡ τῶν ἐν αὐτῷ κειμένων κατάληψις ῥᾳδία γένηται τοῖς φιλοπόνοις.

Περὶ τῶν ἐπακτῶν τῆς σελήνης, πῶς αὗται ψηφίζονται.

Τούτων δὲ οὕτως εἰρημένων, δεῖ περὶ τῶν ἐν τῷ εὐωνύμῳ κανονίῳ τεταγμένων ἐπακτῶν τῆς σελήνης καὶ αὖθις ἐπαναλαβεῖν, καὶ δεῖξαι πῶς αὗται ψηφίζονται. χρὴ τοίνυν τὸ ἐνιστάμενον τῆς σελήνης ἔτος ἐνδεκαπλασιάσαι. οἷον ὡς ἐπὶ τοῦ παρόντος δ΄ καὶ ι΄. καὶ τὰς ἐκ τοῦ πολυπλασιασμοῦ συναγομένας ἡμέρας ρνδ΄ ποιῆσαι παρὰ δύο ἡμέρας, διὰ τὸ πρῶτον τῆς σελήνης ἔτος θ΄ μόνον ἐπακτὰς ἔχειν. καὶ οὕτως εἰς τὸν λ΄, διὰ τοὺς ἐμβολίμους μῆνας ταύτας μερίσαι. λέγω δὲ τὰς ρνβ΄. καὶ τὰς ἀπολειπομένας, τουτέστι τὰς δύο ἡμέρας, ἐπακτὰς ἔχειν τὸ τῆς σελήνης ἔτος γινώσκεται. ἃς καὶ διαγεγραμμένας ἔχει τὸ αὐτὸ δ΄ καὶ ι΄ ἔτος ἐν τῷδε τῷ κανονίῳ. οὕτως οὖν καὶ ἐπ' ἄλλου παντὸς ἔτους σελήνης προσήκει ποιεῖν. αὗται δὲ ἐπακταὶ ἡμέραι τυγχάνουσιν, ἃς τὸ ἔτος τῆς σελήνης πάντη τε καὶ πάντως ἔχον εὑρίσκεται κατὰ τὴν τριακάδα πρώτην τοῦ Μαρτίου μηνός. ἐπειδὴ ταύτας ἀεὶ δέον ἐστὶν εἰδέναι πόσαι τυγχάνουσι. λυσιτελοῦσι γὰρ εἰς τὸ τὴν ποσταίαν τῆς σελήνης ἐν ἑκάστῳ τῶν δυοκαίδεκα μηνῶν ψηφίζεσθαι καὶ εὑρίσκεσθαι. κζ΄.

Πῶς ἐν ἑκάστῳ μηνὶ τῆς σελήνης ποσταίαν εὑρίσκομεν.

Οἷον τὰς ἀπὸ τῆς πρώτης Ἀπριλίου μέχρι τῆς ζητουμένης ἐν οἵῳ δή ποτε μηνὶ Ῥωμαϊκῷ ποσταίας ἡμέρας ἀθροίζομεν. καὶ ταύταις ἐπιβάλλομεν τὰς εἰρημένας τῆς σελήνης ἐπακτάς. ἃς ἔχουσα, καθὼς ἔφην, εὑρίσκεται κατὰ τὴν εἰρημένην τριακάδα πρώτην τοῦ Μαρτίου μηνός. καὶ εἰς τὰς κθ΄ ἥμισυ τὰς ὅλας μερίζομεν· καὶ τὰς ἀπομενούσας ἔχουσαν τὴν σελήνην γινώσκομεν. ταῦτα καὶ περὶ τῆς τῶν ἐπακτῶν τῆς σελήνης μεθόδου τε καὶ εὑρέσεως. κη΄.

Περὶ τῶν ἐπακτῶν τοῦ ἡλίου, πῶς καὶ αὗται ψηφίζονται.

Δεῖ δὲ καὶ περὶ τῶν ἡλιακῶν ἐπακτῶν γνωρίσαι, πῶς καὶ ταύτας ἐστὶ καταλαβεῖν. χρὴ τοίνυν τῷ ἐνισταμένῳ ἡλιακῷ ἔτει, φέρε εἰπεῖν ὡς ἐπὶ τοῦ παρόντος κη΄ ἔτους, ἰσαρίθμους αὐτῷ κρατεῖν ἡμέρας, παρὰ μίαν μόνην ἡμέραν. τουτέστιν κζ΄ ἡμέρας. ἰσάριθμα δὲ τέταρτα, παρ' οὐδὲ ἓν τέταρτον αὖθις συμπαραλαμβάνειν· τουτέστιν κη΄, δδ΄, ἅπερ ποιοῦσιν ἡμέρας προδήλως ἑπτά. καὶ οὕτως τὰς ὅλας, ἤγουν τὰς λδ΄, μερίζειν εἰς τὰς ζ΄ διὰ τὰς ἑβδομάδας. καὶ τὰς ὑπολοίπους, τουτέστι τὰς ϛ΄ ἡμέρας, ἐπακτὰς ἔχον γινώσκεται τὸ αὐτὸ κη΄ ἔτος. ἃς ἐν αὐτῷ καὶ διεγράψαμεν ἐν τῷδε τῷ κανονίῳ, καθὰ καὶ τοῖς λοιποῖς τὰς προσφόρους. οὕτως οὖν καὶ ἐπ' ἄλλου παντός ἐστι ποιεῖν, εἰς εὕρεσιν τῶν αὐτοῦ ἐπακτῶν. κθ΄.

Πῶς καὶ ἴσας, καὶ πλείονας ἀλλήλων ἐπακτὰς ἔχουσι τὰ τοῦ ἡλίου ἔτη.

Ἕκαστον μὲν γὰρ ἔτος ἡλίου, * μίαν τέταρτον κέκτηται ἐπακτήν, οὐκ ἄλλην οὖσαν τὸ σύνολον, ἢ τὴν μετὰ τὰς νβ΄ ἑβδομάδας περιττεύουσαν ἐκ τῶν τξε΄, δ΄ ἡμερῶν· δύο δὲ, καὶ γ΄, καὶ δ΄, καὶ μέχρις ἁπλῶς τῶν ζ΄ λέγεται ἔχειν, διὰ τὴν ἐξ ἀλλήλων εἰς ἄλληλα γινομένην ταύτης δὲ τῆς μιᾶς τέταρτον παραπομπήν τε καὶ αὔξησιν. ἕως γὰρ τῆς ἑβδομαδικῆς συμπληρώσεως, ἤγουν τῶν ζ΄ ἡμερῶν, κατ' εἱρμὸν ἐν τοῖς ἔτεσιν αὐξανομένη πάλιν ἀπάρχεται. καθότι δὲ βίσεξτόν ἐστι, καὶ ἐκ τῶν τετάρτων τῆς τετραετηρίδος ἀθροισθεῖσα μία ἡμέρα, κατ' * ἐπίκλησιν ταύτης πλείων πως ἡ τῶν ἐπακτῶν τοῦ διαδεχομένου ἔτους ἐπαύξησις γίνεται. δύο ἡμέρας, ἀντὶ μιᾶς προσλαμβάνοντος. ὡς ἔστιν ἰδεῖν ἐπ' αὐτοῦ τοῦ προκειμένου κη΄. τέσσαρας γὰρ ἔχοντος τοῦ πρὸ αὐτοῦ, τουτέστι τοῦ κζ΄, ἓξ τοῦτο διὰ τὴν ἐκ τῶν τετάρτων ἀθροισθεῖσαν ἡμέραν ἐκτήσατο. ὅθεν οὐδὲ εἰς τὴν αὐτὴν ἡμέραν, ἐξ ἧς ἀπήρξατο, καὶ κατέληξε τὸ λεχθὲν κζ΄ ἔτος. ἐπειδὴ διὰ μὲν τῶν τξε΄, εἰς τὴν ἐξ ἧς ἀπήρξατο, κατέληγε πάντως. οἷον ἀπὸ κυριακῆς, εἰς κυριακήν. ἢ δευτέρας, εἰς δευτέραν. διὰ δὲ τῶν τξϛ΄, εἰς τὴν μετὰ τὴν ἀφ' ἧς ἡμέραν ἀπήρξατο. τουτέστιν ἀπὸ κυριακῆς, εἰς δευτέραν. ἢ ἀπὸ ταύτης, εἰς τρίτην. καὶ ἑξῆς ὁμοίως. διὰ ταῦτά τοι προσήκει ποιεῖσθαι τοῦ ἡλίου ἐπακτῶν τὴν παρατήρησιν, καὶ ταύτας ψηφίζειν κατὰ τὸν ἀποδειχθέντα τρόπον. οἷον, ἵνα καὶ πάλιν εἴπωμεν, τὰς ἰσαρίθμους αὐτοῦ τοῦ ἐνισταμένου ἡλιακοῦ ἔτους, οἷον δ' ἂν εἴη τὸ ψηφιζόμενον, λαμβάνειν ἡμέρας, παρὰ μόνην λ΄.

* Id est 1 ¼

* f. ἐπ' ἴσον.

μόνην μίαν ἡμέραν. καὶ τὰ ἰσάριθμα τέταρτα παρ' οὐδὲ ἓν τέταρτον, καὶ μερίζειν εἰς τὰς ζ΄. καὶ τὰς ὑπολοίπους ἐπακτὰς ἔχον εὑρίσκεται πάντως αὐτὸ τὸ εἰς τὴν ζήτησιν ἡμῖν προκείμενον ἔτος. τὰς ἰσαρίθμους δὲ τοῦ ἔτους ἡμέρας παρὰ μίαν ἡμέραν ποιεῖν εἴπομεν, ἐπειδὴ τὸ πρῶτον ἔτος * τέταρτον εἰς ἐπακτὴν ἔχον καταγέγραπται, διὰ τὸ ἀπὸ πρώτης, ἤγουν ἁγίας κυριακῆς αὐτὸ κανονίζεσθαι. πᾶν γὰρ ἔτος ἀπὸ κυριακῆς ἀρχόμενον, ὡς ἀνωτέρω λέλεκται, οὐδὲ μίαν ἐπακτὴν τὸ σύνολον κέκτηται, πλὴν ἴσως ποσημορίων τινῶν, οἷον τετάρτου, ἢ ἡμίσεος, ἢ ἡμίσεος τετάρτου· ἅπερ οὐδαμῶς συντελοῦσιν εἰς ἑβδομαδικῆς ἡμέρας ἐξεύρεσιν, ἕως ἂν διὰ τῆς τετραετηρίδος ἡμέραν μίαν ποιήσωσιν.

* f. ἀλ- μόν ἴσως.

Πῶς ἄλλως τάς τε τοῦ ἡλίου καὶ τῆς σελήνης ἐπιτηρῆσαι δυνατόν ἐστιν ἐπακτάς.

λα΄. Καὶ ἵνα συντόμως εἴπω περί τε τῶν τοῦ ἡλίου καὶ τῆς σελήνης ἐπακτῶν, καὶ τῆς τούτων ῥᾳδίας καταλήψεως, ἡ μὲν σελήνη, ἤγουν τὸ κατ' αὐτὴν ἐνιστάμενον ἔτος, τοσαύτας ἐπακτὰς ἔχει πάντως ἀεί, ὅσας ἡμέρας εὑρίσκεται κεκτημένη κατὰ τὴν τριακάδα πρώτην τοῦ Μαρτίου μηνός. ὁ δὲ ἥλιος, ἤγουν τὸ ἐνιστάμενον αὐτοῦ ἔτος, ἰσαρίθμους κέκτηται πάντως ἀεὶ τὰς οἰκείας ἐπακτὰς τῇ ἑβδομαδικῇ ἡμέρᾳ. εἰς ἣν καταντήσαν τὸ πρὸ αὐτοῦ ἔτος ἐπερατώθη κατὰ τὴν λεχθεῖσαν τριακάδα πρώτην τοῦ αὐτοῦ Μαρτίου μηνός. ταῦτα καὶ περὶ ἐπακτῶν ἡλίου, καὶ τῆς τούτων εὑρέσεως.

Περὶ τῆς κατὰ σάρκα τοῦ σωτῆρος γεννήσεως, τοῦ τε βαπτίσματος, καὶ τοῦ πάθους. ποίῳ γεγόνασιν ἡλίου καὶ σελήνης ἔτει. καὶ ποίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος.

λβ΄. Τούτων οὕτως εἰρημένων, τῶν ἀναγκαιοτάτων ἐστὶν ἐπισημήνασθαι καὶ τὸ τῆς κοσμογενείας ἔτος, ἐν ᾧ τὴν ὑπερκόσμιον ἐν κόσμῳ πεποίηται σάρκωσιν ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀεὶ παρθένου Μαρίας ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστός. ἦν οὖν τὸ τηνικαῦτα ͵εφα΄ ἔτος, κατὰ τὴν ἐν δέλτοις ἱεροῖς ἀναγραφήν, τῶν ἀπὸ Ἀδὰμ ἀριθμουμένων ἐτῶν. ἐν τούτῳ γὰρ ὅ τε Εὐαγγελισμὸς γέγονε τῆς παρθένου, καὶ ἡ ἐξ αὐτῆς αὐτοῦ ἄφθορος καὶ πανάγαθος γέννησις. ἔτος δὲ ἦν ἡλίου, τὸ ιγ΄. σελήνης τὸ ι΄. ἡμέρα δὲ τῆς ἑβδομάδος, τοῦ μὲν Εὐαγγελισμοῦ β΄. τῆς δὲ γεννήσεως, δ΄. οὕτω δὲ καὶ τὸ πάμφωτον αὐτοῦ καὶ ὑπέρφωτον βάπτισμα τῷ ͵εφλ΄ γέγονεν. ἔτος δὲ ἦν ἡλίου μὲν, ιδ΄· σελήνης δὲ, τὸ α΄. ἡμέρα δὲ τῆς ἑβδομάδος γ΄. πάλιν δὲ τὸ σωτήριον αὐτοῦ πάθος, ἤγουν ἡ σταύρωσις * τῷ ͵εφλδ΄. ἔτος δὲ ἦν ἡλίου μὲν ιη΄. σελήνης δὲ, ε΄. ἡμέρα δὲ προδήλως παρασκευή· ὡς εἶναι τὰ ἀπὸ τῆς ἐνανθρωπήσεως αὐτοῦ μέχρι τῆς νῦν ἐνισταμένης ἰνδικτιῶνος, ἔτους λα΄ τῆς βασιλείας Ἡρακλείου τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως, ἔτη χλγ΄. τὰ δὲ ἀπὸ τοῦ σωτηρίου βαπτίσματος καὶ τοῦ πάθους, δῆλα πάλιν ἐκ τούτων καθέστηκεν, ὡς τὰ μέν εἰσι χδ΄. τὰ δὲ χα΄.

* f. ιη.

Διὰ τί διαφόρῳ τῷ τῆς ἰνδικτιῶνος ἔτει τὸ τῆς γεννήσεως τοῦ κυρίου κανονίζεται ἔτος. καὶ πῶς ἡ ἰνδικτιών, καὶ πόθεν ψηφίζεται.

λγ΄. Ἐφ' ἑκάστου δὲ τούτων τὴν ἐπινέμησιν, ἣν ἰνδικτιῶνα οἱ Ῥωμαῖοι προσαγορεύουσι, διάφορον οὖσαν εὑρίσκομεν ὡς διαφόρως ταύτης ψηφιζομένης, ἔκ τε τῶν ἀπὸ Ἀδὰμ ἐτῶν, καὶ τῶν ἀφ' οὗ γέγονεν αὐτή. γέγονε δὲ κατὰ τοὺς ἱστοριογραφοῦντας, ἀπὸ Αὐγούστου Καίσαρος, τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ. τότε δὲ ἦν τῆς κοσμογενείας τὸ ͵ευξ΄. ἅπερ εἰς τὰ ιε΄ λυόμενα, τὸ τέλος τῆς ἰνδικτιῶνος παρίστησιν, ἤγουν αὐτὸ τὸ ιε΄ ἔτος. ἐν ᾧ ταύτης ἐκεῖνος κατὰ τὸ δόξαν θέμενος τὴν ἀρχήν, πρῶτον τὸ τελευταῖον πεποίηκεν. ὡς ἐντεῦθεν ἓν ἔτος προτρέχειν λοιπὸν τὴν ἀπὸ δευτέρου ἔτους τῆς βασιλείας Αὐγούστου ψηφιζομένην ἰνδικτιῶνα, τῆς ἀπὸ κτίσεως κόσμου ψηφιζομένης, κατὰ τὴν τῶν ἀπὸ Ἀδὰμ ἐτῶν, εἰς τὰ ιε΄ γινομένην ἀνάλυσιν. ὅθεν κατὰ ταύτην μὲν τὴν ψῆφον, ἔτος ἰνδικτιῶνος ια΄ ἦν, ἐν ᾧ γέγονεν ἡ κατὰ σάρκα τοῦ σωτῆρος γέννησις. κατ' ἐκείνην δὲ ιβ΄, διὰ τὸ ἓν προλαμβάνειν ἔτος. οὕτω δὲ καὶ τὸ πανίερον βάπτισμα ι΄ καὶ ια΄. καὶ τὸ σωτήριον πάθος, ιδ΄, καὶ ιε΄. τῷ γὰρ μγ΄ τῆς βασιλείας Αὐγούστου, τὴν καθ' ἡμᾶς ὡς ἄνθρωπος πεποίηται γέννησιν ὁ πρὸ τῶν αἰώνων ἐκ πατρὸς γεννηθεὶς ὡς θεός. τὰ οὖν μβ΄ μεριζόμενα παρὰ τὰ ιε΄, ιβ΄ τῆς ἰνδικτιῶνος ἔτει γεγενῆσθαι, καθὼς ἔφην, παρίστησι τοῦ κυρίου τὴν γέννησιν. ὥσπερ οὖν καὶ ἐν ια΄ πάλιν τὰ ͵εφα΄ μεριζόμενα εἰς τὸν αὐτὸν ἀριθμόν. ἔστι δὲ διὰ ἀμφοτέρων τῶν ψήφων καὶ τὸ νῦν ἐνιστάμενον τῆς ἰνδικτιῶνος ἔτος κατὰ τὸν ὅμοιον τρόπον εὑρεῖν. οἷον τοῖς μὲν ἀπὸ Ἀδὰμ διὰ τὴν εἰρημένην αἰτίαν κατὰ πρόσθεσιν ἑνὸς ἔτους γινομένοις ͵ϛρλδ΄, καὶ εἰς τὰ ιε΄ λυομένοις. τοῖς δὲ ἀπὸ β΄ ἔτους τῆς βασιλείας Αὐγούστου μόνοις οὖσι τὸν ἀριθμὸν

de quadrantes integro numero ſine detractione congruentes. Summa per VII dividenda. quod reliquum eſt, dabit epactas anni illius quem quærimus. Porrò numerum dierum annis parem una die minuendum præcepimus, quoniam primus annus nullas habet adſcriptas epactas, quòd à prima feria hoc eſt Dominica definiatur. Si quidem annus omnis à Dominica incipiens, ut ſuprà dictum eſt, nullam penitùs epactam habet; niſi ſi quæ ſunt fragmenta. velut quadrans, aut dimidium, aut dimidii quadrans. quæ ad hebdomadicam feriam inveſtigandam nihil planè conferunt, donec poſt annos quatuor diem unum conſumment.

Quemadmodum Solis & Lunæ epactas aliter invenire liceat.

UT de Solis epactis, & Lunæ, déque harum facili inventione dicam breviter; quod ad Lunam attinet, hujus annus quilibet datus tot ſemper epactas habet, quot dierum ætas illius eſt Martii die XXXI. Sol autem, ſive annus ejus currens, totidem utique habet epactas, quota feria eſt, in quam antecedens annus deſiit pridie Calend. Apriles. Hæc de epactis Solis, & earum methodo dicta ſufficiant. XXXI.

De Nativitate Chriſti ſecundùm carnem, déque Baptiſmate, & Paſſione, quoto anno Solis, ac Lunæ contigerint, & quanam hebdomadis die.

HIs ita conſtitutis, imprimis neceſſarium eſt annum orbis conditi notatum habere, in quo Jeſus Chriſtus Deus, ac Dominus noſter illam mundo ſublimiorem Incarnationem è ſancta Deipara, ſempérque Virgine Maria ſuſcepit in mundo. Erat tunc igitur annus mundi 5501, ut ex ſacris litteris conſtat, earúmque computatione annorum ab Adamo. Hoc enim anno annunciatio Virgini facta eſt, & incorrupta, benigniſſimáque de ipſa Nativitas accidit. Annus erat Solis XIII, Lunæ verò X. dies hebdomadæ tempore Evangeliſmi feria II, Nativitatis IV. Sic ſplendidiſſimus, imo ſplendore major omni baptiſmus ejuſdem contigit anno 5530, anno Solis XIV, Lunæ I, feria III. Rurſus ſalutaris illius Paſſio, ſive Crucifixio, anno 5534, anno Solis XVIII, Lunæ V, ipſo utique Paraſceves die. Colliguntur ab Incarnatione ipſius uſque ad præſentem Indictionem anni XXXI imperii Heraclii piiſſimi noſtri Imperatoris, anni 633. A ſalutari verò baptiſmo, & paſſione quot anni lapſi ſint ex iis manifeſtum eſt omnibus: nimirum ab illo annos fluxiſſe 604. ab hac 601. XXXII.

Cur diverſo Indictionis anno Nativitatis Dominicæ notatur annus. & quomodo Indictio, & unde putetur.

IN his ſingulis diverſa reperitur Indictio. (Sic enim à Romanis vocatur) tamquam non uno modo numeretur ab annis Adami, & ex quo primùm inſtituta eſt: Orta eſt autem, ut hiſtorici prodiderunt, anno primo Auguſti Cæſaris, ejus imperii ſecundo, qui fuit annus mundi 5460. Hi per 15 diviſi, ultimum Indictionis annum, id eſt annum quintumdecimum exhibent: in quo hujus initium ille ſtatuens ultimum eſſe primum voluit. Ita fit ut uno anno præcurrat Indictio, quæ ab anno Auguſti ſecundo numeratur, eam, quæ ab orbis exordio ducitur, quando anni Adami per XV dividuntur. Proinde fuit Indictio XI ſecundùm calculum iſtum, anno quo ſecundùm carnem Salvator eſt ortus. at ex illo calculo fuit XII: quoniam uno antevertit anno. Sic ſacratiſſimus baptiſmus Indictionem habet X, & XI. & ſalutaris paſſio XIV, & XV. Quippe anno Auguſti XLIII noſtri inſtar, ut homo, natus is eſt, qui ante ſæcula tamquam Deus ex Patre natus fuerat. Proinde ſi XLII per XV dividis, annus prodibit Indictionis XII. quo, ut diximus, Chriſti natalis incidit. quemadmodum rurſus 5601 per XV diviſa dant XI. Poteſt autem utroque computandi modo præſens Indictionis annus eadem ratione deprehendi. Ut ſi annos Adami propter eam cauſſam, quam diximus, uno ampliùs numeratos 6134, per 15 dividas. aut ſi annos à ſecundo Imperatoris Auguſti 674 per eumdem par- XXXIII.